VI ἢ, οὕτως παραποδισμὸς γί(νεται) τῆς πέψεω(ς) διὰ τὴν δυσκατεργασίαν καὶ οὕτως μεταβολὴ εἰς περισσώματα· ἐγ δὲ τῶν περισσωμάτ(ων) ἀναφέρονται φῦσαι· αἱ δὲ ἀν[ε]νεχθεῖσαι ἐπιφέρουσι τὰς νόσους. [ταῦτα δὲ ἔφησεν ἀνὴρ] κει[ν]ηθεὶς δόγματι τοιούτῳ· τὸ γ(ὰρ) πνεῦμ(α) ἀναγκαιότατον καὶ κυριώτατον ἀπολείπει τ(ῶν) ἐν ἡμῖν, ἐπειδή γε παρὰ τὴν τούτου εὔροιαν ὑγίεια γί(νεται), παρὰ δὲ τὴν δύσροιαν νόσοι. δίκην τε ἐπέχειν ἡμᾶς φυτῶν· ὡς γὰρ ἐκεῖνα π(ροσ)ερρίζωται τῆι γῆι, οὕτως κ[αὶ αὐ]τοὶ π(ροσ)ερριζώμεθα πρὸς τὸν ἀέρα κατά τε τὰς ῥῖνας καὶ κατὰ τὰ ὅλα σώματα. ἐοικέναι μέν γε φυτοῖς ἐκείνοις, ⟨οἳ⟩ στρατιῶται καλοῦνται. ὥσπερ γὰρ ἐκεῖνοι προσερριζωμένοι τῶι ὑγρῶι μεταφέρονται νῦν μ(ὲν) ἐπὶ τοῦτο τὸ ὑγρόν, νῦν δὲ ἐπὶ τοῦτο, οὕτως καὶ αὐτοὶ οἱονεὶ φυτὰ ὄντες προσερριζώμεθα π(ρὸς) τὸν ἀέρα καὶ ἐν κεινήσει ἐσμ(ὲν) μεταχωροῦντες νῦν μὲν ἐπὶ τάδε, αὖθις δὲ ἐπ' ἄλλην. εἰ δὲ ταῦτα, φανερὸν ὡς κυριώτατόν (ἐστιν)

VI 14] Hippocrates de flat. 3 [VI 94, 1 L.]: πνεῦμα δὲ τὸ μὲν ἐν τοῖσι σώμασι φῦσα καλεῖται, τὸ δὲ ἔξω τῶν σωμάτων ὁ ἀήρ. οὗτος δὲ μέγιστος ἐν τοῖσι πᾶσι τῶν πάντων δυνάστης ἐστίν. Ibidem 4 [VI 96,1] διότι μὲν οὖν ἐν τοῖς ὅλοις (sic scripsi ex ὁδοῖς cod. A: ceteri τοῖσιν ἄλλοισιν) ὁ ἀὴρ ἔρρωται, εἴρηται. τοῖς δ' αὖ θνητοῖσιν οὗτος αἴτιος τοῦ βίου καὶ τῶν νούσων τοῖσι νοσέουσι. Ibidem 5 [VI 96, 13 L.] οὐκ ἄλλοθέν ποθεν εἰκός ἐστι γίνεσθαι τὰς ἀρρωστίας ἢ ἐντεῦθεν, ὅταν τοῦτο πλέον ἢ ἔλασσον ἢ ἀθροώτερον γένηται ἢ μεμιασμένον νοσηροῖσι μιάσμασιν ἐς τὸ σῶμα ἐσέλθῃ.

VI 22] Dioscorides mater. med. IV 100 [1.593 Spr.]: στρατιώτης ὁ ἐπὶ τῶν ὑδάτων φυόμενος, οἱ δὲ ποτάμιον στρατιώτην καλοῦσιν [Αἰγύπτιοι τιβούς (?), προφῆται αἷμα αἰλούρου]. ὠνόμασται δὲ διὰ τὸ ἐπινήχεσθαι τοῖς ὕδασι καὶ χωρὶς ῥίζης ζῆν. φύλλον δὲ ἔχει ἀειζώου ὅμοιον, μεῖζον μέντοι καὶ ψυκτικὴν ἔχον δύναμιν, ἐφιστάνον τὰς ἐκ νεφρῶν αἱμορραγίας πινόμενον. τραύματά τε ἀφλέγμαντα τηρεῖ καὶ ἐρυσιπέλατα καὶ οἰδήματα σὺν ὄξει καταπλασσόμενον ἰᾶται. ex eodem auctore (Sextio Nigro, cf. Wellmann *Herm.* XXIV 530 sqq.) Plinius h. n. XXIV 169: *celebratur autem et a Graecis stratiotes, sed ea in Aegypto tantum et inundatione Nili nascitur, aizoo similis ni maiora haberet folia. refrigerat mire et volnera sanat ex aceto inlita, item ignis sacros et suppurationes. sanguinem quoque qui defluit a renibus pota cum ture masculo mirifice sistit* (cf. *Hermes* XXVIII 424[1])

VI 13 K ταῦτα—ἀνὴρ in margine suppl. P 14 K 20 K 22 K γε vel τε P

VI τὸ πνεῦμα. τούτ(ων) ἐκκειμέν(ων), ὅταν γέν(ηται) περισσώμα⟨τα⟩, ἀπὸ τούτων γί(νονται) φῦσαι, αἳ δὴ [ἀναθυμ(ιαθεῖσαι)] τὰς νόσους ἀποτελοῦσι· παρά τε τὴν διαφορὰν τ(ῶν) [φ]υσῶν ἀποτελοῦνται αἱ νόσοι ⟦σαι⟧. ἐὰν μ(ὲν) γὰρ πολλαὶ ὦσι, νοσάζουσιν, ἐὰν δὲ ἐλάχισται, πάλι νόσους ἐπιφέρουσι· παρά τε τὴν μεταβολὴν τῶν φυσῶ(ν) γίνονται αἱ νόσοι· διχῶς δὲ μεταβάλλουσιν ἢ ἐπὶ τὸ ὑπέρμετρον θερμὸν ἢ ἐπὶ τὸ ὑπ[έ]ρμετρον ψυχρόν. καὶ ὁποίως ἂν γ[έ]νηται ἡ μεταβολή, νόσους ἀποτελεῖ. [καὶ ὡ]ς μ(ὲν) ὁ Ἀριστοτέλης οἴεται περὶ Ἱπ[ποκράτο]υς, ταῦτα. ⁂ ὡς δὲ

αὐτὸς Ἱπποκράτης λέγει, γί(νεσθαι) τὰς νόσους [π(αρὰ) τὰς διαφορὰς τ(ῶν) ἐν τῇ συστά]σει φύσεων

VII ἀνθ[ρωπ- . . . . λέ-]γει δι[. . . . .] ἢ ὑπ[. . . . .] χολῆς καὶ φλέγμα[τος . . . .] ταῦτα ἐπὶ δὴ γινομένοις [. . . . .] καὶ ⟦συν⟧ οὖσι συν[ίστ]ασθ[αι . . . .] τοῦ παρόντος φλέγματος [. . . . .] ων ε[ἶ]ναι ἐν ἡμῖν κ(ατὰ) φύσιν τὸ αἷμα [. . . . .] τῶν [ἰα]τρῶν· παρὰ φύσιν τε τὴν εἰς [. . . . .] ὅτι αὗται [μ(ὲν)] ἐν [ἡμ]ῖν γί(νονται) αἱ νόσοι [διὰ τῆς] φλεγμασίας. τάδε γ(ὰρ) ἐκτὸς [. . . . .] πόνων ὑπερμέτρ[ων], κ(ατα)ψύξεως, [θερμότητος.] παρά τε τὴν τῆς χολῆς καὶ τοῦ φ[λέγματος] κατάψυξιν ἢ θερμ[ό]τη[τ]α π[ερ]ιγί(νεσθαι) [τὰς νό-]σους. ⁂ ἀλ(λὰ) γ(ὰρ) ἔτι φ(ησὶν) Ἱπποκράτης [γί(νεσθαι) τὰς]

VI 32 αναθυ[μ] in mrg. suppl. P 34 K νοσοι ex φυ corr. P; fortasse omisit διάφοροι ante νόσοι 40. 41 K 43 K 45 incerta supplementa

VII 6 extremae litterae servantur in marg. col. VIII, itemque v. 7. 18. 21 7 φλέγματος veri similiter K. ego dispexi ειλ·υατος 8 fortasse κ(ατὰ) τὴν δόξαν 9 K 10 αὗται—ἡμῖν incerta. nam pars superior lacuna hausta 11 εκτοσ vel ειστοσ (εἰς τὸ σῶμα) P. sententia incerta velut τάδε γὰρ ἐκτὸς γί(νεσθαι) π(αρὰ) φύσιν ἀπὸ 12 υπερμετρου spatio magis convenire putat K; ego illud teneo 13—16 K

VII νόσους ἢ ἀπὸ τοῦ πνεύματος ἢ [ἀπὸ τ(ῶν) διαι-]τημάτ(ων), καὶ τούτ[ων τὴν] ὑποτύ[πωσιν δοκεῖ ο(ὕτως)] ἐκτίθεσθαι· ὅταν μ(ὲν) γ(άρ), φ(ησίν), ὑπὸ [τῆς] αὐτῆς νόσου πολλοὶ ἁλίσκωνται [ἅμα, τὰς] αἰτίας ἀναθέσθαι [δεῖ] τῶι ἀέρι· παρὰ [γ(ὰρ)] τοῦτ[ο]ν γί(νεται) ἡ αὐτὴ νόσος. ⁂ ὅταν [μ(έν)τοι π]ολλὰ εἴδη καὶ ποικίλα γί(νηται) νόσων, [αἴ(τια), φ(ησίν), λεκ-]τέον τὰ διαιτήματα, οὐχ ὑγιῶ[ς ποι-]ούμενος τὴν ἐπιχείρησιν. ἐν[ίοτε γ(ὰρ)] τὸ αὐτὸ αἴ(τιον) πολλῶν καὶ ποικίλ[ων] νοσημάτ(ων) γίνεται· κ(ατα)σκευαστικὸν [γ(άρ)-]τοι πλῆθος καὶ πυρετοῦ καὶ πλευ[ρίτι-]δος καὶ ἐπιληψίας (ἐστίν), ὅπ[ε]ρ κ(ατὰ) σύσ[τασιν] τῶν σωμάτων ἀναδεχομέν(ων) τ[ίκτει] καὶ τὰς νόσους. οὐ γὰρ δὴ πάντ(ων) [σωμάτ(ων)], ἐπεὶ ἓν (ἐστιν) αἴ(τιον), ἤδη μία καὶ νόσο⟨ς⟩ φέρ[εται], ἀλλ', [ὥ]σπερ εἴπομεν, πολλὰ καὶ ποικίλ[α εἴδη]. καὶ [τἄ]μπαλιν (ἔστιν) ὅτε ὑπὸ διαφερό[ντ(ων) αἰ(τίων)] ταὐτὰ γί(νεται) πάθη. καὶ γ(ὰρ) διὰ πλῆθος ἡ [κοιλία] ῥεῖ, ἔτ[ι] καὶ διὰ δριμύτητα, εἰ χ[ολ]ὴ [π(αρα)ρρεῖ]. ἐξ ὧν φανερόν, ὡς ψεύδε[ται πε]ρὶ [τούτ(ων) ἀνήρ], ὡς προϊόντος ἐπιδείξομ(εν) τοῦ λό(γου). ⁂ [ἐκεῖνο]

VII 16] Hippocrates q. f. de nat. homin. 9 [VI 52, 11 L.]: αἱ δὲ νοῦσοι γίνονται αἱ μὲν ἀπὸ τῶν διαιτημάτων αἱ δὲ ἀπὸ τοῦ πνεύματος ὃ ἐσαγόμενοι ζῶμεν· τὴν δὲ διάγνωσιν χρὴ ἑκατέρου ὧδε ποιεῖσθαι· ὅταν μὲν ὑπὸ ἑνὸς νοσήματος πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τούτῳ, ὅτι κοινότατόν ἐστι καὶ μάλιστα αὐτῷ πάντες χρώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν· φανερὸν γὰρ δὴ ὅτι τὰ διαιτήματα ἑκάστου ἡμῶν οὐκ αἴτιά ἐστιν, ὅτε γε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς καὶ τῶν νεωτέρων καὶ τῶν πρεσβυτέρων καὶ γυναικῶν καὶ ἀνδρῶν ὁμοίως.

VII 21] Hippocrates de nat. hom. 9 [54, 6 L.]: ὅταν δὲ αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τοὺς αὐτοὺς χρόνους, δῆλον ὅτι τὰ διαιτήματά ἐστιν αἴτια ἕκαστα ἑκάστοισι, καὶ τὴν θεραπείην χρὴ ποιεῖσθαι ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ ἐκ τῶν διαιτημάτων μεταβάλλειν. Ibidem [54, 17 L.]: ὅταν δὲ νοσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ καὶ (sic A) δῆλον ᾖ, ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν τοῦτ' αἴτιόν ἐστι, δῆλον ὅτι τοῦτο νοσηρὴν τὴν ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιεῖσθαι τοῖσιν ἀνθρώποισιν τοιάσδε· τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς νούσου, τὸ δὲ σῶμα ὁρᾶν, ὅπως ἔσται ἀογκότατον κτλ.

VII 21 τοῦτον K 27 τοι aut ται P πλῆθος certum videtur cf. v. 34 28 σύστασιν] συσ vel τυσ P 33 τἄμπαλιν vestigiis magis aptum quam τοὔμπαλιν 35 ῥεῖ ἔτι] ρειετ. vel ρευετ. vel ρεγετ. P 37 ἐπιδείξομεν] non extat locus ἐκεῖνο] vel νῦν sim.

VII μέντοι γε ῥητέον, διότ[ι ἄλ]λως [Ἀριστο-] τέλης περὶ τοῦ Ἱπποκράτους λέγε[ι καὶ] ἄλλως αὐτός φ(ησιν) γί(νεσθαι) τὰς [νό]σο[υς. ※ ※ οἷς ἐπό-] μενος ὁ ⟨Ἀ⟩βυδηνὸς Ἀλκαμέν[ης] λέγει γί(νεσθαι) τὰς νόσους, ὥς φ(ησιν) π[ερὶ] αὐτοῦ Ἀριστοτέλης, διὰ τὰ π[ερισσώ-] ματα τὰ ἀπὸ τῆς τρο[φῆ]ς [κατασκευα-]

VIII ζόμενα· αἴ(τια) γ(ὰρ) ταῦτα τ(ῶν) νό[σων (εἶναι). κ(ατὰ)] τοῦτο μ(έν)τοι γε διάφορος φαί[νεται π-] ρὸς τὸν Εὐρυφῶντα, καθ' ὅσον κ[ατά τι] μὲν [τ]ὴν κεφαλὴν εἶπεν ἐπι[κου-] ρικὴν γί(νεσθαι) τ(ῶν) περιττωμάτ(ων), ἁ[πλῶς] δὲ ὁ Ἀλκαμένης εἶπεν· ʽἀνατρ[έχοντα] [μ]ὲν ὡς τὴν κεφαλὴν τὰ περισ[σώμα-] τα γί(νεται) ἐπιχορηγούμενα πρὸς τῆ[ς κε-] φαλῆς καὶ ἐπιπεμπόμενα τῶι ὅλῳ σώματι τὰς νόσους ἐμποιεῖ.' ※ ※ ὁ δὲ Μεταποντῖνος Τιμόθεος, καθὼς φησιν περὶ αὐτοῦ ὁ αὐτὸς φιλόσοφος, λέγει ἀποτελεῖσθαι τὰς νόσους τρόπωι τούτωι· ὅταν μ(ὲν) γὰρ ἡ κεφαλὴ ὑγιὴς ᾖ καὶ ⟦[καθ]αρα⟧ καθαρά, καὶ ἡ τροφὴ ἀπ' αὐτῆς προστίθεται τῶι ὅλωι σώματι ⟦καὶ ὁ⟧ ὑγιαίνει τὸ ζῷιον· ※ ὅταν δὲ μὴ ὑγιὴς ᾖ, νόσους ἐπιφέρει τῶι τὰς διεξόδους ἀποφράσσεσθαι· ʽὅταν γάρ, φ(ησίν), αὗται ἀποφρα- [γ]ῶσιν, ἀνατρέχον τὸ περίσσωμα ὡς τοὺς κ(ατὰ) τὴν κεφαλὴν τόπους τ[έω]ς τῶι μὴ ἔχειν διέξοδον ἐν- μένει, ἐ[ν]μεῖναν δὲ μεταβάλλει εἰς ἁλμυρὸν καὶ δριμὺ ὑγρόν, καὶ εἶτα πλείονα [ἐν]μεῖναν χρόνον καὶ ῥῆξιν ἐργασάμενον φέρεται εἰς ὁτιοῦν μέρος

VII 41—44 K
VIII 1. 2 K 3 suppl. incertum cf. IV 35 sqq. 4 τὴν K 6 ανατρ vel ανατι; supplevi ex v. 20 7 περισσώματα K 8 γίνεται ego ut K legi 14 κεφαλὴ liquido P: lege κοιλία 15 dittographiam notavit K 20 K 23 K 25 K

VIII κ[αὶ] παρὰ [τὰς το]ύτου διαφορὰς διαφόρους [τὰς] νόσους ἐπιφέρει. * (ἔστι) δ' ὅτε, φ(ησίν), καὶ [ἀθρό]ως οἰσθὲν ἐπὶ τὴν τραχεῖαν ἀρτηρίαν — λάρυγξ δὲ αὕτη — πνιγμοὺς [ἐπ]ιφ[έρει] καὶ συντόμους ἐξαγωγὰς [. . . . .]νην.' * νοσεῖν δέ φ(ησιν) τὴν κεφαλὴν [ἢ] δι' ὑπερβολὴ⟨ν⟩ κ(ατα)ψύξεως ἢ δι' ὑπερβ[ολ]ὴν θερμότητος ἢ διὰ πληγήν. * * 'Α[.]ας δ[ὲ] ἰ[δίω]ς οἴεται γί(νεσθαι) τὰς νόσους διὰ τὰς τοῦ ἐνκεφάλου καθάρσ⟨ε⟩ις. [καθαίρεσ]θαι δὲ τὸν ἐγκέφαλον διὰ μυ[κτή]ρων, ὤτων, ὀφθαλμῶν, σ[τ]όματος, κ(ατά) [τ]ε τὰς διαφορὰς [το[ῦ π]λήθους] τ(ῶν) καθά[ρσ]εων ὑγίειαν γί(νεσθαι) ἢ νόσον. ὅταν μ(ὲν) γ(ὰρ) κ(ατ') ἐλάχιστον γένηται ἡ κάθαρσις, ὑ[γι]αίνει τὸ ζῷιον, * ὅταν δὲ ὑπερ[κό]ρως, νοσεῖ. λέγει δὲ διὰ ταύτας τ[ὰ]ς καθάρσεις γί(νεσθαι) πέντε κα[τ]άρρους

VIII 35] Hippocrates q. f. de locis in hom. 1 [VI 276, 12 L.]: ἡ γὰρ κοιλίη ὁπόταν ὑπεκχώρησιν μὴ ποιῇ τὴν μετρίην καὶ ἐσίῃ ἐς αὐτήν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων· αὕτη δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης ἀποφρασσομένη ἐς τὴν κεφαλὴν ὡδοιπόρησεν ἀθρόη, καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται οὐ χωρευμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥεῖ ᾗ ἂν τύχῃ καὶ πέριξ τῆς κεφαλῆς καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου . . . καὶ ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησεν, ἢν δ' ἄλλῃ πῃ τύχῃ, ἄλλῃ νοῦσον ποιεῖ.
VIII 44] Hippocrates de locis in homin. 10 [VI 294 1 L.]: ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά· ὁ μὲν κατὰ τὰς ῥῖνας ὁ δὲ κατὰ τὰ ὦτα ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς. οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. ἐπὴν δ' ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ ψύχους, χολὴ γίνεται . . . ὅταν δ' ἐς τὸν μύελον ῥόος γένηται, φθίσις ἀλαΐα γίνεται. ὅταν δ' ὄπισθεν ἐς τοὺς σπονδύλους καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίνεται . . . [296, 6] ἢν δ' ὀλίγον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν. Hippocrates q. f. de glandibus 11 [VIII 564,18 L.]: ῥόοι δὲ ἀπὸ κεφαλῆς ἕως ἀποκρίσιος δι' ὤτων κατὰ φύσιν, δι' ὀφθαλμῶν, διὰ ῥινῶν· τρεῖς οὗτοι· καὶ ἄλλοι δι' ὑπερῴης ἐς φάρυγγα, ἐς στόμαχον, ἄλλοι διὰ φλεβῶν ἐπὶ νωτιαῖον, ἐς τὸ αἷμα [τὰ ἰσχία L.], οἱ πάντες ἑπτά.

VIII 31 ἐπιφέρει] cf. Stephanus in Schol. Dietz. I 328,13 πνιγμοὺς ἐπιφέρει 32 κατ . . νην P: fortasse κ(ατὰ) ἀγχόνην cf. Hippocr. de virg. VIII 468, 12 L.; de re Gal. XVI 676 sqq. 33. 34 K 35 nomen incertum velut Ἄβας, Αἴας. tertia littera potest esse ο δὲ ἰδίω verisimilius mihi videtur quam δ' ὁ Ἰ....ς (K). hoc esset velut Ἰασεύς. contra non potest legi Κνίδιος vel Ῥόδιος 36. 37 K 39 pleraque K 40 K 42 K 43 [μέτ]ρως vestigiis vix aptum 44 τὰς K καθαρρους P

IX [desunt duo fere versus]
[. . .] ιτωι μη [. . . . .]
[κ(ατά)ρ]ρους. ※ ※ [. . . . .]
[Ἡρ]ακλεόδω[ρος [. . . . .]
[. .]ενομεν [. . . . .]
[τ]ὴν αὐτ[ὴν . . . .]
[.] δύο εἶπον[. . . . .]
[. . .]ς παρα[. . . . .]
[. .]εν ὅταν [. . . . .]
[τ]ὸ σῶμα ὑγ[ιαίνει (?) . . . .]
τως νόσοι [. . . . .]
ται τὰ σώμα[τα . . . .]
ρα[.]προσενεχ[θέντα (?) . . . .]
πλ[ή]θη, ἀλ(λὰ) [αἶσ]περ [. . . . .]
καὶ τὰς νόσ[ους . . . . δυσ-]
χρ[ό]τως ἐχ[. . . . .]
μετρίαν νόσο[ν . . . .]
καὶ κατάψυξιν [. . . . .]
Ἡρόδικος δὲ [ὁ Σηλυμβριανὸς οἴεται]

IX 20] Hippocrates q. f. Epidem. VI 3,18 [V 302 L.]: Ἡρόδικος τοὺς πυρεταίνοντας ἔκτεινε δρόμοισι, πάλῃσι πολλῇσι, πυρίῃσι. κακόν. τὸ πυρετῶδες πολέμιον πάλῃσι, περίοδοι δρόμοισιν, ἀνατρίψει. πόνος πόνῳ. Galenus in h. l. [XVII B 99 K.]: καὶ Πλάτων μὲν μέμνηται τοῦ Ἡροδίκου ὡς πολλοῖς περιπάτοις χρωμένου. τίνος γὲ νῦν Ἡροδίκου μνημονεύει [Hippocrates], πότερον τοῦ Λεοντίνου [an Cnidii? cf. supra IV 40, Gal. VII 701] ἢ τοῦ Σηλυβριανοῦ περιττὸν ζητεῖν. Plato Rep. III 406 A—C: καὶ μὲν δή, ἔφη, ἄτοπόν γε τὸ πῶμα οὕτως ἔχοντι. Οὐκ, εἰ γ' ἐννοεῖς, εἶπον, ὅτι τῇ παιδαγωγικῇ τῶν νοσημάτων ταύτῃ τῇ νῦν ἰατρικῇ πρὸ τοῦ Ἀσκληπιάδαι οὐκ ἐχρῶντο, ὥς φασι, πρὶν Ἡρόδικον γενέσθαι. Ἡρόδικος δὲ παιδοτρίβης ὢν καὶ νοσώδης γενόμενος, μίξας γυμναστικὴν ἰατρικῇ, ἀπέκναισε πρῶτον μὲν καὶ μάλιστα ἑαυτόν, ἔπειτ' ἄλλους ὕστερον πολλούς. πῇ δή; ἔφη. Μακρόν, ἦν δ'ἐγώ, τὸν θάνατον αὐτῷ ποιήσας. παρακολουθῶν γὰρ τῷ νοσήματι θανασίμῳ ὄντι οὔτε ἰάσασθαι, οἶμαι, οἷός τ' ἦν ἑαυτόν, ἐν ἀσχολίᾳ τε πάντων ἰατρευόμενος διὰ βίου ἔζη ἀποκναιόμενος, εἴ τι τῆς εἰωθυίας διαίτης ἐκβαίη, δυσθανατῶν δὲ ὑπὸ σοφίας εἰς γῆρας ἀφίκετο. Καλὸν ἄρα τὸ γέρας, ἔφη, τῆς τέχνης ἠνέγκατο. Οἷον εἰκός, ἦν δ' ἐγώ, τὸν μὴ εἰδότα, ὅτι Ἀσκληπιὸς οὐκ ἀγνοίᾳ οὐδὲ ἀπειρίᾳ τούτου τοῦ εἴδους τῆς ἰατρικῆς τοῖς ἐκγόνοις οὐ κατέδειξεν αὐτό, ἀλλ' εἰδὼς ὅτι πᾶσι τοῖς εὐνομουμένοις ἔργον τι ἑκάστῳ ἐν τῇ πόλει προστέτακται, ὃ ἀναγκαῖον ἐργάζεσθαι, καὶ οὐδενὶ σχολὴ διὰ βίου κάμνειν ἰατρευομένῳ. [cf. Schol. ad h. l.]. Prot. 316 D: ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν . . . πρόσχημα ποιῆσαι καὶ προκαλύπτεσθαι, τοὺς μὲν ποίησιν, οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον . . . ἐνίους

IX 1—19] dextra pars periit 6 γενομεν- K 7 K 11 K 13 K 15 K αις vel οις vel εις superscr. P 16. 17 K 18 vel μετριον P 20 ηροδικοσ, non προδικοσ P

IX τὰς νόσους [γί(νεσθαι) ἀπὸ τῆς διαίτης· ταύ-]
την δὲ (εἶναι) κατ[ὰ φύσιν, ὅταν πόνοι προσῶσιν]
καὶ ἄλγη δ' ὅσα [δεῖ, καὶ οὕτως πέψιν μὲν]
ἔχῃ ἡ τροφή, ἐπί[δοσιν δὲ ἀεὶ λαμβάνῃ]
τὰ σώματα ἀν[αδιδομ(έν)ης τῆς τροφῆς κατὰ]
φύσιν. οἴεται γ[(ὰρ)] τὴ[ν μ(ὲν) ὑγίειαν γί(νεσθαι) κατὰ]
φύσιν ἐχόν[τ(ων)] τ(ῶν) σω[μάτ(ων) περὶ τὴν δίαιταν, τὴν δὲ]
νόσον π[α]ρὰ φύσι[ν ἐχόντ(ων) αὐτ(ῶν). τοῖς μ(έν)τοι]
παρὰ φύσ[ι]ν διατεθεῖ[σιν πονεῖν π(ροσ)τάσσει]
ἡ ἰατρικὴ παραγομέ[νη καὶ ο(ὕτως) εἰς τὸ κατὰ]
φύσιν ἄγει ταῦτα, ὡ[ς αὐτός φ(ησιν). * λέγουσιν]
δὲ τὸν ἄνδρα τὴν ἰα[τρικὴν ἔντεχνον]
ἀγωγὴν εἰς τὸ κ(ατὰ) φύσιν [καλέσαι. * καὶ ταῦτα μ(ὲν)]
οὕτως, [ἐ]κεῖνο δὲ ὅτ[ι ἀπ' ἐναντί(ων) τῆς τε]
θερμότητος καὶ ὑ[γρότητος τ(ῶν) σωμάτων)]
συνίστανται νόσοι, [διατεθρύληται. * *]
ὁ δὲ Αἰγύπτιος Νινύ[ας ἰδίως λέγει τὰ μ(ὲν)]
συνγενικὰ γί(νεσθαι) πάθη, [τὰ δὲ ἀλλότρια *]
καὶ τὰ μ(ὲν) συνγενικὰ [ἔμφυτα τοῖς σώμασιν]
εἶναι. * ὑπὸ δὲ ἄλ(λης) αἰ[(τίας) συνίστασθαι]
τὰς νόσους τρόπωι τ[οιούτωι· ὅταν γὰρ]
ἡ τροφὴ ληφθεῖσα μὴ [ἀναδοθῇ τῷ σώματι,]
ἀλλ' ἐνμείνῃ, [ἡ θερμ[ότης ἡ ἐν]] ἡμῖν [οὖσα περισσώματα]
ἐξ αὐτῆς ἀπογεννᾶι [. . . . .]

X [desunt versus fere sex et viginti]
[. . . . .]ινος

δέ τινας ᾔσθημαι καὶ γυμναστικήν, οἷον Ἴκκος τε ὁ Ταραντῖνος καὶ ὁ νῦν ἔτι ὢν οὐδενὸς ἥττων σοφιστὴς Ἡρόδικος ὁ Σηλυμβριανός, τὸ δὲ ἀρχαῖον Μεγαρεύς. Phaedr. 227 D: ἔγωγ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστ' ἐὰν βαδίζων ποιῇ τὸν περίπατον Μεγαράδε, καὶ κατὰ Ἡρόδικον προσβὰς τῷ τείχει πάλιν ἀπίῃς, οὐ μή σου ἀπολειφθῶ. Aristoteles Rhet. A 5. 1361b4: πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων. cf. Plin. N. H. XXIX 4. IX 22] cf. Hippocrates de flatibus 7 [VI 98 L.]: πονηρὴ δέ ἐστιν ἡ τοιήδε δίαιτα τοῦτο μὲν ὅταν τις πλέονας τροφὰς ἢ ὑγρὰς ἢ ξηρὰς διδῷ τῷ σώματι ἢ τὸ σῶμα δύναται φέρειν καὶ πόνον μηδένα τῷ πλήθει τῶν τροφῶν ἀντιτιθῇ.

IX 23 αλγηδοσα sic distincte P 25 post σώματα exhibet αν vel αλ P 32 ἰατρικὴν K ἔντεχνον] cf. Plato Legg. II 673 A 36 conicias ⟨αἱ⟩ νόσοι velut XVII 25 al., at cf. XVIII 3 37 nomen plane incertum, Aegyptium tamen esse negant periti. Ninyas Nini f. notus 41 K

X [. . . . .]νόσους
[. . . . .] μ(ὲν) εἶναι
[. . . . .]επι[.]ν
[. . . . .]μιον
[. . . . .]αμα
[. . . . .]ενον
[. . . . .]απαρα
[. . . . .]μὴ διὰ
[. . . . .]ἀλγηδόν̄
[. . . . .]μενος
[. . . . .]
[. . . . . δόνα]μιν
[. . . . .]ε
[. . . . .]ιον
[. . . . .]σκευ-
[. . . . .]αμεν δὲ
[. . . . .] ψυχ[. .]

XI [desunt versus circa sex]
[. . . . .]ν καὶ [ὑγίε]ιαν
[. . . . . ἁ]λμυρὰν δὲ
[. . . . .]εμενος[. .]
[. . . . .] * καὶ [. . . .]
[. . . . .]φις
[. . . . . τοὺ]ς νεφροὺς
[. . . . .] τὴν θερμ(ὴν)
[. . . . .]ιον μέγα
[. . . . .] ἡ δὲ πυρρὰ
[. . . . .] καὶ πρασο-
[ειδὴς . . . .]ατος τὸ αἷμα
[. . . . .]αίτατον
[. . . . .]μα το[. . . .]ον ἡ δὲ μέλαι-
[να . . . .]ντ(ων) [. . . .]μέν(ων) ὑποστάσε-
[ων . . . .] αἷμα [. . . .] τόπον ἔχει

X 36 compendium explicaverim ἀλγηδόνα
XI 7 ὑγίειαν perdubium 15 sqq. agi videtur de χολῆς generibus; de porracea bile cf. Rufus de nom. part. hom. ed. Daremberg p. 165, 3. 166,2 (de Praxagora)

XI [. . . . . .]ε[. . .]ς * * Ἵππ[ων δ]ὲ ὁ Κρ[ο]τωνιάτης οἴεται ἐν ἡμῖν οἰκείαν (εἶναι) ὑγρότητα, κα[θ' ἣ]ν καὶ αἰσθανόμεθα καὶ [[υγιαι[νο(μεν)]] ἧι ζ]ῶμ(εν)· ὅταν μ(ὲν) οὖν οἰκείως ἔχῃ [ἡ] τοιαύτη ὑγρότης, ὑγιαίνει τὸ ζῶιον, ὅταν δὲ ἀναξηρανθῇ, ἀναισθητεῖ τε τὸ ζῶιον καὶ ἀποθνήσκει. διὰ δὴ τοῦτ[ο] οἱ γ[έροντ]ες ξηροὶ καὶ ἀναίσθητοι, ὅτι χωρὶς ὑγρότητος· ἀναλόγως δὴ τὰ πέλματα ἀναίσθητα, ὅτι ἄμοιρα ὑγρότητος. καὶ ταῦτα μὲν ἄχρι τούτου φ(ησίν). * ἐν ἄλλωι δὲ βυβλίῳ αὐτὸς ἀνὴρ λέγει τὴν κατωνομασ[μένη]ν ὑ[γρότητα] μεταβάλλειν δι' ὑ[περβο]λὴν θερμότητος καὶ δι' ὑπερβολὴν ψυχρότητος καὶ ο(ὕτως) νόσους ἐπιφέρειν. * μεταβάλλ[ειν δέ] φ(ησιν) αὐτὴν ἢ ἐπὶ τ[ὸ] πλεῖον ὑγρὸν ἢ ἐπὶ τὸ ξηρότερον ἢ ἐπὶ τὸ παχυμερέστερον ἢ ἐπὶ τὸ λεπτομερέστερον ἢ εἰς [ἕτ]ερα. [καὶ τὸ [αἴ(τιον)] οὕτως νοσολ(ογεῖ),] τὰς δὲ νόσους τὰς γινομένας οὐχ ὑπ[α]γορεύει. * * Θρασύμαχ[ο]ς δὲ ὁ Σαρδιανὸς αἰ(τίαν) ἀπολεί⟨πει⟩ τ(ῶν) νόσων τὸ αἷμα· κ(ατὰ) δὲ τὴ[ν τούτου] μετα[βολὴ]ν

XII ἀποτελεῖσθαι τὰς [νόσους. [με]ταβάλλειν δὲ] ἢ δι' ὑπερβολὴν καταψύ[ξ]εως ἢ δ[ι' ὑπερβολ]ὴν θερμότητος. * τὴν δὲ μεταβολὴν τοῦ αἵματος γί(νεσθαι) ἢ εἰς φλέγμα ἢ χολὴν ἢ [σε]σηπός. * καὶ

XI 22 Hipponis nomen restitui, quamvis lacuna v litterae haustae videantur. sed et extat alterius π prior tantum hasta et solent ω, ν, δ spatiosius exarari. Crotoniatam perhibitum i. e. celeberrimae medicorum sectae asseclam, qui Samo oriundus Rheginus an Metapontinus [Doxogr. Index p. 683] anceps esset, intellegi potest. fortasse coniunctus erat Pythagoreis, qui tum Crotone Rhegium et Metapontum sedem translocaverunt cf. Philolaus Crotoniata infra XVIII 8. doctrina quidem est Hipponi unice apta et contraria Hippasi Metapontini (Crotoniatae) Pythagorei, cf. *Herm.* XXVIII 420   χρωτωνιατης P   24 καθ' ἣν K   25 ἧι umbram secutus scripsi   40 αἴ⟨τιον⟩] litteram perobscuram θ dubitanter legerat K   44 τούτου] spatium minus litterarum capit. fortasse per neglegentiam του scripserat P

XII 1 K   2 καταψυχεως P   δι' ὑπερβολὴν K

XII τὸ μὲν αἷμα ἁπ[λοῦν, τὴν] δὲ χολή⟨ν⟩ καὶ τὸ φλέγμα καὶ τὸ σε[σ]ηπὸς ποικίλα ὄντα ποικίλας καὶ διαφόρους ἐπιφέρειν νόσους. * * πάντα [δὲ ὁμοίω]ς φ(ησὶν) Δέξιππος [ὁ Κῷιος], ⟨ὃς⟩ οἴεται συν[ίστασθαι] τὰς νόσους ἀπὸ τ(ῶν) τῆς τροφῆς [περ]ιττωμάτ(ων), τοῦτ᾽ (ἔστιν) ἀπό τε χολῆς καὶ φλέγματος [δυ(νάμεων) γι(νομένων) περ[ὶ] μέρος [καὶ] περὶ ὅλον], κεινουμέν(ων) τούτ(ων) μὴ ἐξ ἑαυτ(ῶν), ἀλλὰ παρὰ τὰς [[πολλ]ὰς] ⟨καὶ⟩ ἀκαίρους τῆς τροφῆς δόσεις. νοσοπ⟨οι⟩εῖν δὲ ταῦτα καὶ παρὰ τὸ πλῆθος καὶ παρὰ τὸν τόπον καὶ εἶδος, μεταβάλλειν δὲ οἴεται καὶ δι᾽ ὑπερβολὴν πάντ(ων)· καὶ γ(ὰρ) θερμότητος κ[αὶ ψύξ]εως ἢ τοιούτ(ων) παραπλ[η]σίων· καὶ περὶ μ(ὲν) τούτου φαίνεται παρα[πλη]σίως τοῖς πρ[ότερον αἰτιολογ]ῶν. * περιττό[[το]]τερος δὲ α[ὐ]τ(ῶν) φαίνετ[αι] κ(ατὰ) τοῦτο· λέγει γ(ὰρ) τηκομένης τῆς χολῆς καὶ τοῦ φλέγματος καὶ ὑγροτέρων γι(νομένων) ἀποτελεῖσθαι ἰχῶρας καὶ ἱδρῶτας· σηπομένων δὲ αὐτ(ῶν) καὶ παχυνομέν(ων) ἐπιφέρειν ἦχον, μύξας, λήμας· ἀναξηράνσει δὲ [σ]τερεῶν ἀποτελεσθ(έντων) π[ιμελὴν καὶ σάρκας γί(νεσθαι)] ἐξ αὐτ(ῶν) λέγει [. . . . . κ]αὶ αἷμα π[. . . . .] λεγόμενα χολὴν [. . . . . .] φλέγματος [ἐπι]μειχθ(έντος) τῶι αἵ[μα]τι [. . .]μα [. . . τ]ὸ [φ]λέγμα [. . . . . . .]νθέντος [δὲ] αὐτοῦ λευκὸν [φλέγμα γί(νεται)], μελανθέντος δὲ καὶ μεταβ[ληθέντος] μέλαινα χολή. καὶ ἡ μὲν τοῦ Κῴου δόξα τοιαύτη[[ι]]. * * Φασίλας

8 minus placet πάντα δὲ ὁμοίως, φησίν [sc. Aristoteles], Δ. ὁ Κ. οἴεται 9 συνίστασθαι K 10 K 15 fortasse καὶ ⟨τὸ⟩ εἶδος με in deletis ιι literis P 18 τοιούτων] non extat τῶν τούτοις (XIX 1) 21 K 28 π vel γι P: suppl. H. Schöne 33 ἀπολευκανθέντος vel ἐξυγρανθέντος αυτου vel ετιαυ P 35 β aut θ P 36 φασιλας potius quam φασιτας P. ultimae contractionem aeolicam esse negat O. Hoffmann

XII 37 δὲ ὁ Τενέδιος λέγει συνίστασθαι
τὰς νόσους ἢ παρὰ τὴν ἀποφορὰν
τῶν ἐν ἡμῖν ὑγροτήτ(ων) καὶ προστι-
θεμέν(ων) ἀνοικείοις τόποις ἢ ἀπὸ τ(ῶν)
ἀποχωρ⟨ημάτων⟩ αὐτ(ῶν)· εἶναι γ(άρ) φ(ησιν) ἐν ἡμῖν
κατὰ φύσιν ὑγρότητ[α]ς καὶ τὰς μ(ὲν)
⟦τὰς⟧ ὑγρότητας οὐ κατονομάζει

XIII τ[. . . . .]
ο[. . . . .]
αἷμα[. . . . .]
κατὰ τὰ [. . . . .]
ἀποχω[ρημα . . . .]
τόπ[. . . . .]
η[. . . . .]
ται ἢ ὅτα[ν . . . .]
ἅπασαι. ※ [. . . . .]
φησὶ συν[ίστασθαι τὰς νόσους ἐκ τοῦ]
φλέγμα[τ]ο[ς . . . .]
λαμβάνει [. . . . .]
ἐξ ἑαυτ(ῶν)· εἰ δὲ ἐπὶ [. . . . .]
αὕτη γὰρ ἐπιμείνα[σα . . . .][ται δια[τι]θεισῶ(ν)
[τὸ ὅ]λον [σ]ῶμα]
⟦~~θαισαπ~~⟧ λέγει ηγετοι [. . τ]όποις [. . . .]
προειρημένα μὴ καθ' [ἑα]υτά, μετὰ δὲ
καὶ τῆς τοῦ σώματος δ[ια]θέσεως· ὥσ[.]ε
ἐὰν γ(ὰρ) ἔχῃ ὑπὸ νόσο[υ τὸ] ζῶιον ηελ[. . . .]ν
εὐκρότως μ(ὲν) γ(ὰρ) αὐτοῦ [δια]κειμένου
ὑγίεια γί(νεται), δυσκρότως δ[ὲ ν]όσος.
Αἰγίμιος δὲ ὁ Ἠλεῖος οἴε[ται] γί[νεσθαι] τὰς νόσους
ἢ διὰ πλῆθος τῶν περισσω[μά]τ(ων) ἢ διὰ τρ[ο]φ(ήν).

(*Gr. Dialecte* II 295. 23,2); at quo uno niti videtur Πραξιλάω, simplicis λαός exemplo tractum videtur, et normam sequitur Λαδάμαντος (n. 124,4 cf. Hoffmann l. c.). ceterum Φασίδας (Φασείδας tit. Acarn. *Bull. d. corr. hell.* X 182) vestigiis vix aptum 42 υγροτητες correxit ex υγροτης P 43 υγροτητας in deleto vocabulo P; τας delere oblitus est scriba

XIII 6 in marg. sinistro col. XIV v. 6 et 7 inveniuntur vestigia litterarum velut /Λ// et infra σ; quae quo pertineant, incertum. 15 ~~θαισαπ~~λοτοιηγετοι legit K 17 ε extremum superscriptum credit ultimo ν versus 18 K; an ὥσπε|ρ ἂν γάρ? 18 extr. ΗΝ (εΛ superscr.)[. . . .] /// (N superscr.); fortasse ἢ ζῇ ἢ ἀποθν(ήσκει) 21. 26 K

XIII γινόμενον δὲ τὸ πλῆθο[ς . .] [***] νοσοπ[ο]ιεῖν [μ]ὴ ἅπαξ, ἀλ(λὰ) καὶ πλεονά[κι]ς. * συνίστασθ(αι) [δ]έ φ(ησιν) τὸ πλῆθος τ(ῶν) περισσωμάτ(ων) τρόπωι το]ιούτωι· * σύντηξις γίνεται ἀπὸ τῶν σωμάτ(ων), ἥτις ἀποκρίνεται τῇ μ(ὲν) κατὰ τὸ λόγ[ῳ] θεωρητόν, τῆι δὲ καὶ κατὰ τὸ αἰσθητόν, — διὰ [δ]ὲ κοιλίας, οὔρων, ὤτων, μυ[κτήρων,] [σ]τόματος —, τ(ῶν) ἄλλων ἀποκρίσεων γ[ι(νομένων)] κατὰ λόγον. εἰ μὴ γ(ὰρ) αὖ σύντηξις ἐγί[νετο] ἀπὸ τ(ῶν) σωμάτ(ων), εἰς ἄπειρον ἂν μετ' [ὀλίγον] ηὔξετο τὰ ἡμέτερα σώματα· * καὶ δ[εόν-]τως· προσθέσεως γ(ὰρ) γινομέν[ης], μηκέτι δὲ ἀποφορᾶς, εὔλογον ἦ[ν] αὔ[ξη]σι[ν] γί(νεσθαι) ἐπὶ πλεῖον. * ἐπ(ε)ὶ δὲ οὐ μόνον πρόσθε[σ]ις γί(νεται) τοῖς σώμασιν, ἀλ(λὰ) πρὸς λόγον τῆς π(ροσ)θέσεως καὶ ἀποφορὰ διὰ τ(ῶν) κατωνομασμέν(ων) ἀποκρίσεων, ταύτῃ ἐπ' ἐλάχιστον ἡ αὔξ⟨ησ⟩ις τ(ῶν) σωμάτ(ων). * * φησὶν δὲ τρέ[φ]εσθ(αι) τὰ σώματα ὑπὸ τῆς νεαρᾶς καὶ ἀπέπτου τροφῆς, γενηθείσης δὲ τῆς [πέ-]ψεως καὶ ἀναδόσεως κενοῦσθ[αι τὰ] ἀγγεῖα καὶ τὰς διεξόδους. * * τὸ δ[ὲ] πλῆθος συνίστασθαι εἰσφερομέ[νης] ἑτέρας τροφῆς, πρὶν τὴν πρώτ[ην] πέψεως τυχεῖν. * * ὅταν γ(ὰρ) πρό[τερ]ο[ν]

XIV [. . . τ]ὴν τρ[οφ]ὴν π[. . . . .] [. . . . .] [καὶ ὅσοι μὲν οὖν τὰς νόσους γί(νεσθαι) λέγουσ]ιν [διὰ τὸ] πλῆθος, [μάλιστα] ἀπὸ τ(ῶν) [περισσω]μάτ[(ων)] αἰτιολογοῦντες, [σχεδὸν] εἴρηνται. * * ἴδωμεν δὲ καὶ

VIII 23 γινόμενον] ομενον ex εσθαι corr. P   litteras post πλῆθος evanidas litura deletas suspicor, ut proximum και deletum est   νοσοπειειν P   25—29 K   30 στόματος K   31 K   33 ηὔξετο. retinui orthographiam tum vel in Attica usitatam (cf. praeter Meisterhansium ²136 ¹¹⁹⁶ ηὐξή[θη] in tit. Att. (II s. p. Chr.) *Athen. Mitth.* XVIII 193 v. 5   34 K   35 ἦν] ηι P   αὔξησιν K   36 K   40 αυξις P   τρέφεσθαι K   42—47 K

XIV τ[οὺς ἀπὸ τῶν περισσω]μάτ(ων) καὶ δια[κρίσεων αἰτιολογ]οῦντας τὰς νόσ[ους κα]ὶ τοὺς ἀπὸ τῆς τ(ῶν) στοιχείων συσ[τάσε]ως οἰομένους συνεστ⟨άν⟩αι τὰ ἡμέ[τερ]α σώματα. καὶ πρῶτον ἀπὸ Πλά[των]ος. οὗτος γ(άρ) φησιν τὰ ἡμέτερα [σώματα συνίστασθαι ἐκ τῶν] τεσσά[ρω]ν στοιχείων, ὅτι καὶ τὰ ἐν [κό]σμωι γί(νεται) [ἀνὰ λό(γον)]. διαφέρειν δὲ ταῦτα· σύνφθ[αρσιν, μ]ῖξιν, διάκρασιν. * καὶ σύνφθαρσι[ν μ(ὲν)] καὶ σύνχυσιν, ὅταν σώματα διὰ ἑαυ[τῶν ὅλω]ν ἡ[κ]οντα μίαν ὑπεράν[ω] ἀποτελέσῃ ποιότητα, ὡς ἐπὶ τῆς τετραφαρμάκου. * μῖξις δέ (ἐστιν), [[~~ὅταν~~]] ὅταν σώ-

XIV 15] cf. Aristoteles de gen. et inter. A. 10 [328a5]: ἐπεὶ δ᾿ οὐκ ἔστιν εἰς τἀλάχιστα διαιρεθῆναι, οὔτε σύνθεσις ταὐτὸ καὶ μῖξις ἀλλ᾿ ἕτερον δῆλον ὡς οὔτε κατὰ μικρὰ σῳζόμενα δεῖ τὰ μιγνύμενα φάναι μεμῖχθαι. σύνθεσις γὰρ ἔσται καὶ οὐ κρᾶσις οὐδὲ μῖξις, οὐδ᾿ ἕξει τὸν αὐτὸν λόγον τῷ ὅλῳ τὸ μόριον. φαμὲν δ᾿ εἴπερ δεῖ μεμῖχθαί τι τὸ μιχθὲν ὁμοιομερὲς εἶναι καὶ ὥσπερ τοῦ ὕδατος τὸ μέρος ὕδωρ, οὕτω καὶ τοῦ κραθέντος. ἂν δ᾿ ᾖ κατὰ μικρὰ σύνθεσις ἡ μῖξις, οὐθὲν συμβήσεται τούτων, ἀλλὰ μόνον μεμιγμένα πρὸς τὴν αἴσθησιν. Arius Didymus apud Stob. Ecl. I 17 [I 154, 8 W. 463, 20 Doxogr.]: διαφέρειν γὰρ ἀρέσκει τοῖς ἀπὸ τῆς Στωικῆς αἱρέσεως παράθεσιν, μῖξιν, κρᾶσιν, σύγχυσιν. παράθεσιν μὲν γὰρ εἶναι σωμάτων συναφὴν κατὰ τὰς ἐπιφανείας, ὡς ἐπὶ τῶν σωρῶν ὁρῶμεν, ἐν οἷς πυροί τε καὶ κριθαὶ καὶ φακοὶ καὶ εἴ τινα τούτοις ἄλλα παραπλήσια περιέχεται καὶ τῶν ἐπὶ τῶν αἰγιαλῶν ψήφων καὶ ἄμμων. μῖξιν δ᾿ εἶναι δύο ἢ καὶ πλειόνων σωμάτων ἀντιπαρέκτασιν δι᾿ ὅλων, ὑπομενουσῶν τῶν συμφυῶν περὶ αὐτὰ ποιοτήτων, ὡς ἐπὶ τοῦ πυρὸς ἔχει καὶ τοῦ πεπυρακτωμένου σιδήρου· ἐπὶ τούτων γὰρ ⟨δι᾿⟩ ὅλων γίγνεσθαι τῶν σωμάτων τὴν ἀντιπαρέκτασιν. ὁμοίως δὲ κἀπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχειν. δι᾿ ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν· ἀρέσκει γὰρ αὐτοῖς σῶμα διὰ σώματος ἀντιπαρήκειν. κρᾶσιν δὲ εἶναι λέγουσι δύο ἢ καὶ πλειόνων σωμάτων ὑγρῶν δι᾿ ὅλων ἀντιπαρέκτασιν τῶν περὶ αὐτὰ ποιοτήτων ὑπομενουσῶν. [τὴν μὲν μῖξιν καὶ ἐπὶ ξηρῶν γίγνεσθαι σωμάτων, οἷον πυρὸς καὶ σιδήρου ψυχῆς τε καὶ τοῦ περιέχοντος αὐτὴν σώματος· τὴν δὲ κρᾶσιν ἐπὶ μόνων φασὶ γίνεσθαι τῶν ὑγρῶν.] συνεκφαίνεσθαι γὰρ ἐκ τῆς κράσεως τὴν ἑκάστου τῶν συγκραθέντων ὑγρῶν ποιότητα οἷον οἴνου, μέλιτος, ὕδατος, ὄξους, τῶν παραπλησίων. ὅτι δ᾿ ἐπὶ τοιούτων κράσεων διαμένουσιν αἱ ποιότητες τῶν συγκραθέντων πρόδηλον ἐκ τοῦ πολλάκις ἐξ ἐπιμηχανήσεως ἀποχωρίζεσθαι ταῦτα ἀπ᾿ ἀλλήλων. ἐὰν γοῦν σπόγγον ἠλαιωμένον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει τὸ ὕδωρ τοῦ οἴνου ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν σπόγγον. τὴν δὲ σύγχυσιν δύο ⟨ἢ⟩ καὶ πλειόνων ποιοτήτων περὶ τὰ σώματα μεταβολὴν εἰς ἑτέρας διαφερούσης τούτων ποιότητος γένεσιν, ὡς ἐπὶ τῆς συνθέσεως ἔχει τῶν μύρων καὶ τῶν ἰατρικῶν φαρμάκων. Philo de aetern. mundi 16. p. 503 M. 25, 23 Cumont: κατὰ δὲ σύγχυσιν ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος. de confus. l. 37 (433 M.) σύγχυσίς ἐστι φθορὰ τῶν ἐξ ἀρχῆς ποιοτήτων ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε. cf. Gal. de elem. sec. Hipp. I 5 [I 452 K.] al.

XIV 6 desideres ἴδωμεν δὲ μετὰ τοὺς; at cf. XVII 44 sqq. et *Herm.* XXVIII 415, 29 9—13 K 15 μωι τέ[σσαρα] dubitanter K 16 σύνφθαρσιν K 17 K 18 ἑαυτῶν K

XIV ματά τινα ἑαυτοῖς κ(ατὰ) παράθεσιν παρακέ(ηται) καὶ μὴ δι' ἑαυτῶν ἥκῃ, ὡς σωρὸς πυροῦ, κριθῆς. * δ[ιάκρ]ασις δέ (ἐστιν), ὅταν σώματά τινα ἐπὶ [ἓν σ]υνελθόντα ἀλλήλοις παρακ[έη]ται, ὡς ἐπὶ τοῦ οἰνομέλιτος βλέπομ[εν. ἀπὸ] τοιγ(άρ)[τοι] τῆς τούτ(ων) διαφορᾶς φησιν ὁ Πλάτων τὰ ἡμέτερα σώματα ἐκ τ(ῶν) τεσσάρων στοιχείων συνεστάναι κατὰ σύν[φθαρσι]ν. ταύτῃ δὲ μὴ φαίνεσθ(αι) [καθ' ἕ(ν)] ἐν ἡμῖν πῦ[ρ ἢ] ἀέρα ἢ γῆν ἢ ὑγρὸν τῶι κατὰ σύνφθαρσιν αὐτῶν τὰ ζῶι[α] [ἀπο-][τελεῖσθαι] [//////////] * * ἀλλὰ γὰρ λέγει ἀνὴρ καί τινα τ(ῶν) ἐν ἡμῖν μερ(ῶν) διαφόρου τε-[τ]ευ[χ]έν[αι κ]ράσεως ἐκ τ(ῶν) στοιχείων. οὐ γ(ὰρ) ὡσαύ[τ]ως κέκραται κεφαλὴ ἢ χείρ, ἀλλὰ [ἄλ]λως μ(ὲν) κεφαλή, ἄλλως δὲ θώρα[ξ, ἐ]πεὶ κοινῶς ἕκαστον τ(ῶν) ἡμετέρων [σωμά]των διαφόρου κράσεω(ς) τετύχηκε[ν, [ὅθεν] καὶ αὐτὰ διάφορα ἑαυτ(ῶν)]. * ἔτι γε μήν φ(ησιν) ὡς ὁ μυελὸ(ς)

XIV 26] Plato Tim. p. 82 A: τεττάρων γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν καὶ πάνθ' ὅσα τοιαῦτα στάσεις καὶ νόσους παρέχει.

XIV 39] Plato Tim. p. 73 A—74 A: τὸ δὲ ὀστῶν καὶ σαρκῶν καὶ τῆς τοιαύτης φύσεως πέρι πάσης ὧδε ἔσχε. τούτοις ξύμπασιν ἀρχὴ μὲν ἡ τοῦ μυελοῦ γένεσις· οἱ γὰρ τοῦ βίου δεσμοὶ τῆς ψυχῆς τῷ σώματι ξυνδουμένης ἐν τούτῳ διαδούμενοι κατερρίζουν τὸ θνητὸν γένος· αὐτὸς δὲ ὁ μυελὸς γέγονεν ἐξ ἄλλων. τῶν γὰρ τριγώνων ὅσα πρῶτα ἀστραβῆ καὶ λεῖα ὄντα πῦρ τε καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν δι' ἀκριβείας μάλιστα ἦν παρασχεῖν δυνατά, ταῦτα ὁ θεὸς ἀπὸ τῶν ἑαυτῶν ἕκαστα γενῶν χωρὶς ἀποκρίνων, μιγνὺς δὲ ἀλλήλοις ξύμμετρα, πανσπερμίαν παντὶ θνητῷ γένει μηχανώμενος, τὸν μυελὸν ἐξ αὐτῶν ἀπειργάσατο, καὶ μετὰ ταῦτα δὴ φυ-

XIV 23—25 K 29 σύνθεσιν vel σύνκρασιν K, qui hoc praefert $\overset{‘}{καθ}$ P. litteram superscriptam explico ε 31 απο iuxta $\overset{α}{ζωι}$ in marg. appositum post vitium insequentis v. est correctum 32 τελεῖσθαι K. nec hoc nec quod olim eius loco scriptum erat legi iam potest. post τελεῖσθαι in litura pellucet velut νομίζει 34 θευκεν P. ergo librarius τεθευκεναι dedit aspiratione confusa et vulgari simul forma verbi accita pro τετυχηκέναι quo auctor usus esse videtur, cf. v. 39. ceterum illa forma tum trita, cf. Phrynichus Lobeckii p. 395; Meinekei Analecta Alex. p. 248; G. Dindorf ad Vit. Eur. (Poet. scen. Lips. 1869) p. 18; Demetr. de eloc. 230; Philodem. de sign. 27, 36. Voll. Herc. V 2 (1843) p. 35; Not. et extr. des manuscr. XVIII 2, 211 35—37 K 38 σωμάτων K

XIV συνέστηκεν [ἐ]κ τῶν τεσσάρων στοι-
χ[ε]ίων καὶ κύρ[ιος] εὐθύς (ἐστι) τ(ῶν) ἐν ἡμῖν
ἁπάντ(ων), χρώμενος πιθανότητι λόγων
τοιαύτῃ· ἀνῆφθαι γ(ὰρ) ἐκ τοῦ μυελοῦ
τὴν ψυχὴν τὴν τὸ ὅλον σῶμα διοικ(οῦσαν)

XV [evanidi versus tres]
κυριώτ[ατ- . . . .]
καὶ μὴν τ[. . . . .]
καὶ [. . . . .]
ὑστ[. . . . .]
καὶ ἀνι[. . . . .]
χοις [.]να[. . . . .]
καὶ ἅμα [. . . . .]
ὁ[.]ν τοῖς [. . . . .]
[. . . . .]το[. . . . .]
[. . . . .]
ἀεὶ τὰ βόει[α . . . .]
λέγει δευ[τερ- . . . .]
χει[. . . .]αι[.]

τεύων ἐν αὐτῷ κατέδει τὰ τῶν ψυχῶν γένη, σχημάτων τε ὅσα ἔμελλεν αὖ σχήσειν οἷά τε καθ' ἕκαστα εἴδη, τὸν μυελὸν αὐτὸν τοσαῦτα καὶ τοιαῦτα διῃρεῖτο σχήματα εὐθὺς ἐν τῇ διανομῇ τῇ κατ' ἀρχάς. καὶ τὴν μὲν τὸ θεῖον σπέρμα οἷον ἄρουραν μέλλουσαν ἕξειν ἐν αὐτῇ περιφερῆ πανταχῇ πλάσας ἐπωνόμασε τοῦ μυελοῦ ταύτην τὴν μοῖραν ἐγκέφαλον, ὡς ἀποτελεσθέντος ἑκάστου ζῴου τὸ περὶ τοῦτο ἀγγεῖον κεφαλὴν γενησόμενον· ὃ δ' αὖ τὸ λοιπὸν καὶ θνητὸν τῆς ψυχῆς ἔμελλε καθέξειν, ἅμα στρογγύλα καὶ προμήκη διῃρεῖτο σχήματα, μυελὸν δὲ πάντα ἐπεφήμισε, καὶ καθάπερ ἐξ ἀγκυρῶν βαλλόμενος ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς περὶ τοῦτο ξύμπαν ἤδη τὸ σῶμα ἡμῶν ἀπειργάζετο, στέγασμα μὲν αὐτῷ πρῶτον ξυμπηγνὺς περίβολον ὀστεΐνον· τὸ δὲ ὀστοῦν ξυνίστησιν ὧδε. γῆν διαττήσας καθαρὰν καὶ λείαν ἐφύρασε καὶ ἔδευσε μυελῷ, καὶ μετὰ τοῦτο εἰς πῦρ αὐτὸ ἐντίθησι, μετ' ἐκεῖνο δὲ εἰς ὕδωρ βάπτει, πάλιν δὲ εἰς πῦρ αὖθίς τε εἰς ὕδωρ· μεταφέρων δ' οὕτω πολλάκις εἰς ἑκάτερον ὑπ' ἀμφοῖν ἄτηκτον ἀπειργάσατο. καταχρώμενος δὴ τούτῳ περὶ μὲν τὸν ἐγκέφαλον αὐτοῦ σφαῖραν περιετόρνευσεν ὀστεΐνην, ταύτῃ δὲ στενὴν διέξοδον κατελείπετο· καὶ περὶ τὸν διαυχένιον ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ αὐτοῦ σφονδύλους πλάσας ὑπέτεινεν οἷον στρόφιγγας, ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς, διὰ παντὸς τοῦ κύτους.

XV 14](?) Plato Rep. I 338c: εἰ Πουλυδάμας ἡμῶν κρείττων ὁ παγκρατιαστὴς καὶ αὐτῷ ξυμφέρει τὰ βόεια κρέα πρὸς τὸ σῶμα, τοῦτο τὸ σιτίον εἶναι καὶ ἡμῖν τοῖς ἥττοσιν ἐκείνου ξυμφέρον ἅμα καὶ δίκαιον.

XIV 40 K 41 χοιων P fortasse κυριως P, nisi κυριώτατος fuit nescio quo pacto truncatum cf. XV 4

XV 14 vel ασπαβοερ P

XV στοιχείων ἐχ[. . . . .] συνεστηκ[. . . . .] κοιλ⟦ε⟧ιῶν κα[. . . . .] ἐκκειμέν[ων. ※ διαι[ρῶν δὲ τὸν μυελὸν εἰς] μέρη τινὰ κα[τὰ ἕκαστον] μέρος [δ]ιάφορον σχῆμα ἀπο[δίδωσιν· τὸ] γ(ὰρ) ἐνκεφάλου σχῆμα λεγό[μ(εν)όν φησιν] (εἶναι) καὶ περιφερὲς καὶ κεκυ[κλωμ(έν)ον, ※] τοῦ δὲ λοιποῦ μυελοῦ ὁ ν[ωτιαῖος περι]έχουσι ὀστέοις καταλείπ[εται στέγειν.] αὐτῆς ⟦τε της⟧ τε τῆς [ψυχῆς γ̄ μέρη] (εἶναι) λέγων τὸ μ(ὲν) λογιστικὸν [ὡς ὀχυρωτάτωι] τῶι ἐν[κε]φάλωι ἀπολείπε[ι, τὸ μ(έν)τοι ἄλογ]ον μέρο[ς] αὐτῆς ἐν τῶι ⟦/////⟧ ⸢ν[ωτιαίωι] μυ]ελῶι. συ[ν]εστάναι δέ φ(ησιν) τὰ [ὀστέα μίξει γ]ῆς τε καθ(αρᾶς) καὶ μυελοῦ, ἐναλ[λαγῆναι δὲ τ]οῦ πυρός τε αὐτὰ ἐνπήξει [καὶ τετ]ηκότος. ※ ※ τὴν]

XV 26] Plato Tim. p. 69 D E: καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν.
XV 31] Plato Tim. p. 80 E. 81 A—C: ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν· ὁ δὲ τρόπος τῆς πληρώσεως ἀποχωρήσεώς τε γίγνεται, καθάπερ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν, ἣν τὸ ξυγγενὲς πᾶν φέρεται πρὸς ἑαυτό. τὰ μὲν γὰρ δὴ περιεστῶτα ἐκτὸς ἡμᾶς τήκει τε ἀεὶ καὶ διανέμει πρὸς ἕκαστον εἶδος τὸ ὁμόφυλον ἀποπέμποντα, τὰ δὲ ἔναιμα αὖ, κερματισθέντα ἐντὸς παρ᾽ ἡμῖν καὶ περιειλημμένα ὥσπερ ὑπ᾽ οὐρανοῦ ξυνεστῶτος ἑκάστου τοῦ ζῴου, τὴν τοῦ παντὸς ἀναγκάζεται μιμεῖσθαι φοράν· πρὸς τὸ ξυγγενὲς οὖν φερόμενον ἕκαστον τῶν ἐντὸς μερισθέντων τὸ κενωθὲν τότε πάλιν ἀνεπλήρωσεν. ὅταν μὲν δὴ πλέον τοῦ ἐπιρρέοντος ἀπίῃ, φθίνει πᾶν, ὅταν δὲ ἔλαττον, αὐξάνεται. νέα μὲν οὖν ξύστασις τοῦ παντὸς ζῴου, καινὰ τὰ τρίγωνα οἷον ἐκ δρυόχων ἔτι ἔχουσα τῶν γενῶν, ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται, ξυμπέπηγε δὲ ὁ πᾶς ὄγκος αὐτῆς ἁπαλός, ἅτ᾽ ἐκ μυελοῦ μὲν νεωστὶ γεγονυίας, τεθραμμένης δὲ ἐν γάλακτι.
XV 33] Plato Tim. p. 74 C D: ταῦτα ἡμῶν διανοηθεὶς ὁ κηροπλάστης, ὕδατι μὲν καὶ πυρὶ

XV 20—37 ex compluribus maioribus minoribusque fragmentis paullatim concreverunt. 25 quod aegre desideratur τοῖς ante περιέχουσι fortasse superscripserat P. sed verbum praestiterim cf. Herophilus ap. Ruf. de partt. corp. p. 184,15 ed. Dar. μυελὸς . . . ὑπὸ ὀστῶν περιεχόμενος 26 στέγειν (ex Platonico στέγασμα 73 D [cf. test. p. 23,8] ductum) dubium 28 incertum supplementum 30 scriptum fuit ante μυελῶι deletum aliquod vocabulum, cuius prima littera extat etsi oblitterata. superscripsit ν[ωτιαιωι] P, quod (ut v. 25) ex Platonis p. 73 D ὃ δ᾽ αὖ τὸ λοιπὸν κτλ. [cf. t. p. 23,5] sumptum est 32 spectat ad Plat. 73 E [cf. t. p. 23,10], sed supplementa non certa

XV δὲ σάρκα συνεστά[να]ι ἔκ τε γῆ[ς καὶ ὕδα]τος καὶ πυρὸς καὶ ζύμης τιν[ὸς ἐχούσης] ὑγρότητα ἁλμυράν τε καὶ δριμ[εῖαν. * *] παρεσπάρθαι δ' ἐν τῆι σαρκὶ καὶ ὑγροτ[έραν τι]νὰ θερμότητα πεποιημένην. * τ[ὸ ὑγρὸ]ν δὲ ἐν ταῖς ὑπερβαλλούσαις ἐν[καύσεσι] τη[ι]κόμε[ν]ον ψύχειν [τὴν θερμασίαν, ἐν] ταῖς δὲ ὑπερβ[αλ]λούσαις ψύξ[εσιν ἐν]αντιοῦσθαι καὶ [θερμ]ὸν παρέχ[εσθαι] τὸ σῶμα. * τὰς [δὲ] πλείστας [σάρκα]ς (εἶναι) περὶ τὰ ἀψυχ[ότ]ερα τ(ῶν) ὀστῶν· [περὶ] μηροὺ[ς] γὰρ καὶ κνήμ[ας] καὶ γλουτοὺ[ς πο]λλὰς σάρκας ὑπάρ[χει]ν, ἐπειδήπ[ερ αὐτ(ῶν)] τὰ ὀστέα ἀψυχ[ότ]ερά (ἐστιν), * * περ[ὶ δὲ τὴν] κεφα-

XVI λὴν ὀλί[γ]ας, * περὶ [δὲ] γ[λῶσσαν] ποι[εῖ]ται αὐτῆς ὀστέα τἀψυχότερα [μεστά. *] ἀμέλει ἀρ-

---

καὶ γῇ ξυμμίξας καὶ ξυναρμόσας, ἐξ ὀξέος καὶ ἁλμυροῦ ξυνθεὶς ζύμωμα ὑπομίξας αὐτοῖς σάρκα ἔγχυμον καὶ μαλακὴν ξυνέστησε.

XV 36] Plato Tim. p. 74 B C: τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων, ἔτι δὲ πτωμάτων οἷον τὰ πιλητὰ ἔσεσθαι κτήματα, σώμασι μαλακῶς καὶ πράως ὑπείκουσαν, θερμὴν δὲ νοτίδα ἐντὸς ἑαυτῆς ἔχουσαν θέρους μὲν ἀνιδίουσαν καὶ νοτιζομένην ἔξωθεν ψῦχος κατὰ πᾶν τὸ σῶμα παρέξειν οἰκεῖον, διὰ χειμῶνος δὲ πάλιν αὖ τούτῳ τῷ πυρὶ τὸν προσφερόμενον ἔξωθεν καὶ περιιστάμενον πάγον ἀμυνεῖσθαι μετρίως.

XV 43] Plato Tim. 74 E 75 A: ὅσα μὲν οὖν ἐμψυχότατα τῶν ὀστῶν ἦν, ὀλιγίσταις συνέφραττε σαρξίν, ἃ δ' ἀψυχότατα ἐντός, πλείσταις καὶ πυκνοτάταις, καὶ δὴ καὶ κατὰ τὰς ξυμβολὰς τῶν ὀστῶν, ὅπῃ μήτινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν αὐτὰς εἶναι, βραχεῖαν σάρκα ἔφυσεν, ἵνα μήτε ἐμποδὼν ταῖς καμπαῖσιν οὖσαι δύσφορα τὰ σώματα ἀπεργάζοιντο, ἅτε δυσκίνητα γινόμενα, μήτ' αὖ πολλαὶ καὶ πυκναὶ σφόδρα τε ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ στερεότητα ἀναισθησίαν ἐμποιοῦσαι, δυσμνημονευτότερα καὶ κωφότερα τὰ περὶ τὴν διάνοιαν ποιοῖεν. διὸ δὴ τό τε τῶν μηρῶν καὶ κνημῶν καὶ τὸ περὶ τὴν τῶν ἰσχίων φύσιν τά τε τῶν βραχιόνων ὀστᾶ καὶ τὰ τῶν πήχεων, καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα.

XVI 1] Plato Tim. 75 A—C: ὅσα τε ἐντὸς ὀστᾶ δι' ὀλιγότητα ψυχῆς ἐν μυελῷ κενά ἐστι φρονήσεως, ταῦτα πάντα συμπεπλήρωται σαρξίν· ὅσα δ' ἔμφρονα, ἧττον, εἰ μή πού τινα αὐτὴν καθ' αὑτὴν αἰσθήσεων ἕνεκα σάρκα οὕτω ξυνέστησεν, οἷον τὸ τῆς γλώττης εἶδος. τὰ δὲ πλεῖστα ἐκείνως· ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη καὶ ξυντρεφομένη φύσις οὐδαμῇ προσδέχεται πυκνὸν ὀστοῦν καὶ

XV 39 fortasse μὲν intercidit. post ταῖς εν ante lac. clare P 40 τηικομε . . [ν]ον spatio propter papyri pessimam illic condicionem relicto P 41 ἐναντιοῦσθαι K 43 δὲ K 45 κνήμας K 46 ὑπάρχειν K 47 K

XVI 1 γ[λῶσσαν] hasta obliqua extat in P; supplementa incerta αὐτῆς] sc. σαρκός 2 ταψυχοτερα P: τὰ ψυχ(ρ)ότερα coni. K

XVI [γεῖν φ(ησιν) τὰ παχέα·] λέγεσθαι γ(άρ)· ʽπαχεῖα γαστὴρ [λεπτὸν] οὐ [τ]ίκτει νόο[ν.ʼ ※ ※] τά τε ὀστέα φ(ησὶν) [πεπηγέ]ναι [ἀ]ποστηρί[γμα]τ[ο]ς χάριν. ἄρθρα δὲ α[ὐ]τοῖς πεποι[ῆ]σθαι π(ρὸς) τὰς συστολὰς καὶ [κ]άμψεις. ※ νεῦρα δὲ τούτοις ἔξωθεν [. .] τὴν σκληρότητα τ(ῶν) ὀστ(ῶν) διὰ τὰς κ(ατὰ) πρ[ο]αίρεσιν κειν[ή]σεις. ※ σάρκας δὲ διὰ προβολὴν ψύχους τε καὶ θάλπους. ※ τά τε νεῦρα συνεστάναι ἐξ σαρκὸς ἀζύμου καὶ ὀστέων κ(ατά) τινα ἰδίαν κρᾶσιν. ※ ※ ὧδε καὶ φλέβας· ※ παρα-

σάρκα πολλὴν ἅμα τε αὐτοῖς ὀξυήκοον αἴσθησιν· μάλιστα γὰρ ἂν αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν ξύστασις, εἴπερ ἅμα ξυμπίπτειν ἠθελησάτην, καὶ τὸ τῶν ἀνθρώπων γένος σαρκώδη ἔχον ἐφ᾽ ἑαυτῷ καὶ νευρώδη κρατεράν τε κεφαλὴν βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν καὶ ὑγιεινότερον καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς ἀναλογιζομένοις, πότερον πολυχρονιώτερον χεῖρον ἢ βραχυχρονιώτερον βέλτιον ἀπεργάσαιντο γένος, συνέδοξε τοῦ πλείονος βίου, φαυλοτέρου δέ, τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως αἱρετέον· ὅθεν δὴ μανῷ μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύροις κεφαλήν, ἅτε οὐδὲ καμπὰς ἔχουσαν, οὐ ξυνεστέγασαν. κατὰ πάντα οὖν ταῦτα εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι.

XVI 3] cf. Galenus Thrasybulus [II 85,6 Helmreich, V 878 K.]: καὶ τοῦτο πρὸς ἁπάντων σχεδὸν ἀνθρώπων ᾄδεται, διότι πάντων ἐστὶν ἀληθέστατον, ὡς γαστὴρ ἡ παχεῖα τὸν νοῦν οὐ τίκτει τὸν λεπτόν (sic codd.). versum ipsum dant Gregorius Naz. II p. 213 D alii cf. Leutsch Paroem. II 337,22 a. Buecheler M. Rhen. 43, 295; Nauck F. T.² XV; Otto *Sprichw. d. Röm.* n. 1861.

XVI 4] Plato Tim. p. 74 AB: καὶ τὸ πᾶν δὴ σπέρμα διασῴζων οὕτω λιθοειδεῖ περιβόλῳ ξυνέφραξεν, ἐμποιῶν ἄρθρα, τῇ θατέρου προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ ἐνισταμένῃ δυνάμει, κινήσεως καὶ κάμψεως ἕνεκα. τὴν δ᾽ αὖ τῆς ὀστείνης φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος κραυροτέραν εἶναι καὶ ἀκαμπτοτέραν, διάπυρόν τ᾽ αὖ γιγνομένην καὶ πάλιν ψυχομένην σφακελίσασαν ταχὺ διαφθερεῖν τὸ σπέρμα ἐντὸς αὐτῆς, διὰ ταῦτα οὕτω τὸ τῶν νεύρων καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανᾶτο, ἵνα τῷ μὲν ἅπαντα τὰ μέλη ξυνδήσας ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ περὶ τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον παρέχοι, τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ χειμώνων.

XVI 11] Plato Tim. p. 74 D: τὴν δὲ τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως μίαν ἐξ ἀμφοῖν μέσην δυνάμει ξυνεκεράσατο, ξανθῷ χρώματι προσχρώμενος. ὅθεν συντονωτέραν μὲν καὶ γλισχροτέραν σαρκῶν, μαλακωτέραν δὲ ὀστῶν ὑγροτέραν τε ἐκτήσατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ πάντα αὐτὰ κατεσκίασεν ἄνωθεν.

XVI 13] Plato Tim. p. 77 C—E: ταῦτα δὴ τὰ γένη πάντα φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ σῶμα αὐτὸ ἡμῶν διωχέτευσαν τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵνα

XVI 4 τίκτει K νοο vel νοσ P 5 ἀποστηρίγματος K 6 πεποιῆσθαι K 7 κάμψεις K νευρα, prima littera etiam η, π, altera α, ο legi possunt τουτοις vel ταυταις P 8 post εξωθεν ∼. P; δια vel δε K., prior apex explicari potest (εἶναι) manco sensu. desidero verbum velut κλᾶν, κάμπτειν 11 ἐξ sic P 9 K 13 φλεβας potius quam φλεβες P

XVI [σκευάζ]ει δύο, τὴν μ(ὲν) εἰς δ[ε]ξιὰ τὴν [δὲ] εἰς εὐώνυμα, ὧν τῆς μ(ὲν) δεξιᾶς τὰς ἀποσχίδας κ(ατα)πλέκε[ι]ν τὰ εὐώνυμα μέρη. * τῆς δὲ εὐωνύμ[ου] τὰ δεξιά. κοιλίας τε δύο ὑπάρχειν, ὧν τ[ὴ]ν μ(ὲν) ἄνω, τὴν δὲ κάτω· καὶ τὴν κάτω ὑποκεῖσθ(αι) πρὸς ὑποδοχὴν τ(ῶν) περιττωμάτ(ων). περὶ ταύτηι δὲ γενέσθαι μακ[ρ]όν τε καὶ εἱλιγμένον ἔντερον, ἵνα μὴ ⟨ἡ⟩ λαμβ(ανομένη) τροφὴ ῥαιδίως κ(ατα)φέρηται, ἀλ(λὰ) ὑπομένῃ ποσοὺς χρόνους. * ὡς γ(ὰρ) τ(ῶν) κα[τ' ε]ὐθυωρίαν κειμέν(ων) ποταμῶν τὰ ῥεύματά (ἐστιν) [οὐκ] ἀνάσχετα, τ(ῶν) δὲ σκολιῶν ἠπιώτερα διὰ τὸ ἐνκόπτεσθαι, ο(ὕτως) εἰ μ(ὲν) βρα[χὺ] ἐγένετο τὸ ἔντερον τὸ π(ρὸς) τὴν κάτω κοιλίαν καὶ εὐθύ, κἂν ἐφέρετο ῥᾳδίως [ἡ] τροφή. * ἐπεὶ δὲ σκολιόν τέ (ἐστιν) καὶ πο[λύμ]ηκες, ταύτηι ἐπιμένει πολλοὺς χρόνο(υς). [κ]αὶ περὶ μ(ὲν) τοῦ σώματος τοσαῦτα. [λ]έγει δὲ καὶ περὶ τῆς ψυχῆς, ὡς τρι[μ]ερής (ἐστιν), καὶ τὸ μ(έν) τι αὐτῆς (ἐστιν) λογικόν, τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητι-

ὥσπερ ἐκ νάματος ἐπιόντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἔτεμον νωτιαίας διδύμους, ὡς τὸ σῶμα ἐτύγχανε δεξιοῖς τε καὶ ἀριστεροῖς ὄν· ταύτας δὲ καθῆκαν παρὰ τὴν ῥάχιν, καὶ τὸν γόνιμον μεταξὺ λαβόντες μυελόν, ἵνα οὗτός τε ὅ τι μάλιστα θάλλοι, καὶ ἐπὶ τἆλλα εὔρους ἐντεῦθεν ἅτε ἐπὶ κάταντες ἡ ἐπίχυσις γιγνομένη παρέχοι τὴν ὑδρείαν ὁμαλήν. μετὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας καὶ δι' ἀλλήλων ἐναντίας πλέξαντες διεῖσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν ἐπὶ τἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ κλίναντες.

XVI 20] Plato Tim. p. 72 E. 73 A: τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεστῶν ἀκολασίαν ᾔδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα πλέονι· ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο καὶ ἀτελὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτῷ, ταῦτα προορώμενοι τῇ τοῦ περιγενησομένου πόματος ἐδέσματός τε ἕξει τὴν ὀνομαζομένην κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν, εἵλιξάν τε πέριξ τὴν τῶν ἐντέρων γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι, καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος, ἀνυπήκοον τοῦ θειοτάτου τῶν παρ' ἡμῖν.

XVI 14 σκευάζει incertum; ... ρασει P δεξιὰ et cetera usque ad v. 33 K
24 καθ · υθυωρι P

XVI [κ]όν. καὶ τὸ μ(ὲν) λογικὸν ἀπολείπει περὶ [τ]οὺ[ς] κ(ατὰ) τὴν κεφαλὴν τό[πους]· εὐφυὴς γ(ὰρ) [αὕ]τη γί(νεται) π(ρὸς) παραδοχὴν τοῦ ἡγεμονικ(οῦ)· [τὸ] δὲ θυμικὸν ἔταξεν περὶ τὴν καρδ(ίαν), [οὐ] π[ό]ρρω μ(ὲν) τεταγμένον τοῦ λογικοῦ, [ὑπ]οτεταγμένον δὲ τῶι λογικῶι, [ἵν]α δὴ καὶ ὑπήκο⟨ον⟩ αὐτῶι γί(νηται). ⁜ τὸ μέντοι [γ'] τὸ ἐπιθυμ⟨ητ⟩ικὸν ἔταξεν μεταξὺ δια-[φρά]γματος καὶ ὀμφαλοῦ. ⁜ ἐπέστησεν [δὲ] τὸ ἧπαρ τῆι ἐπιθυμίαι κάτοχον, ἵνα

XVI 36] Plato Tim. p. 45 AB: διὸ πρῶτον μὲν περὶ τὸ τῆς κεφαλῆς κύτος, ὑποθέντες αὐτόσε τὸ πρόσωπον, ὄργανα ἐνέδησαν τούτῳ πάσῃ τῇ τῆς ψυχῆς προνοίᾳ, καὶ διέταξαν τὸ μετέχον ἡγεμονίας τοῦτ' εἶναι, τὸ κατὰ φύσιν πρόσθεν.

XVI 39] Plato Tim. p. 69 DE. 70 A: καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν, καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον ἐπεφύκει, διοικοδομοῦσι τὸ τοῦ θώρακος αὖ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι.

XVI 42] Plato Tim. p. 70 DE. 71 AB: τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴπερ τι μέλλοι τὸ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ καὶ ὅ τι πορρωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος ἐῷ βουλεύεσθαι, διὰ ταῦτα ἐνταῦθ' ἔδοσαν αὐτῷ τὴν τάξιν. εἰδότες δὲ αὐτό, ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τε πῃ καὶ μεταλαμβάνοι τινος αὐτῶν αἰσθήσεως, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ τὴν ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵνα ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα, ἀπειλῇ κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ, χολώδη χρώματα ἐμφαίνοι ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ.

---

36 K   37 εὐφυὴς] η male pinxit, ut facilius σι vel ει legas, P   39 K   40 πωρρω P   41 K   43. 44 K   45 κατεχον vel κατοχον P. librarius haud dubie intellegebat τῇ ἐπιθυμίᾳ κατειλημμένον, quod contrarium sententiae. κάτοπτρον Platonicum restituendum

XVII τὰς ἐπιθυμίας τα[πεινοῖ τοῖς εἰδώλοις,] τόν τε πνεύμονα π(ρὸς) τῆι κ[αρδίαι, ἧς ὀξεῖα] ἡ φύσις, μαλακὸν τά[σσει σπόγγον, ἵνα] ἡ καρδία, φ(ησίν), πυκινοκ[ίνητος οὖσα ἀλ-]λομένη μὴ [ῥηγνύηται. * τὸν δὲ σπλῆνα] λέγει ἐγμαγ[εῖ]ο[ν (εἶναι) ἕτοιμον ἀεὶ π(αρα)κείμ(εν)ον,] ἐπειδήπερ νοσο[ῦντι μὲν τῶι ἥπατι καὶ] αὐτὸς συννο[σεῖ] καὶ [συναύξεται, τῶι δὲ] ὑγιαίνοντι συνυγιαίνει, [ἀεὶ ἄγων αὐτὸ] εἰς τὸ κατὰ φύσιν. καὶ περὶ τῆ[ς ψυχῆς] δὲ ταῦτα. * λέγει δὲ γί(νεσθαι) τὰς νό[σους] τριχῶς, ἢ παρὰ τὰ στοιχεῖα [ἢ παρὰ τὴν]

XVII 2] Plato Tim. p. 70 CD: τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πόμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι· διὸ δὴ τῆς ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον, καὶ περὶ τὴν καρδίαν αὐτὸν περιέστησαν οἷον μάλαγμα.

XVII 4] Hippocrates de articulis [IV 124, 15 L.] ἠνάγκασται γὰρ (ἡ κληίς) πυκινοκίνητος εἶναι [cf. Galen. ad l. c. XVIII A 415 K.]

XVII 5] Plato Tim. p. 72 CD: ἡ δ᾽ αὖ τοῦ γείτονος αὐτῷ ξύστασις καὶ ἕδρα σπλάγχνου γέγονεν ἐξ ἀριστερᾶς χάριν ἐκείνου, τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ καὶ καθαρόν, οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον ἀεὶ παρακείμενον ἐκμαγεῖον· διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρσίαι γίγνωνται διὰ νόσους σώματος περὶ τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος· ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὐξάνεται, καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει.

XVII 11] Plato Tim. p. 81 E. 82 A—E: τὸ δὲ τῶν νόσων ὅθεν ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ᾽ ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν καὶ πάνθ᾽ ὅσα τοιαῦτα στάσεις καὶ νόσους παρέχει· παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθισταμένου θερμαίνεται μὲν ὅσα ἂν πρότερον ψύχηται, ξηρὰ δὲ ὄντα εἰς ὕστερον γίγνεται νοτερά, καὶ κοῦφα δὴ καὶ βαρέα, καὶ πάσας πάντη μεταβολὰς δέχεται. μόνως γὰρ δή, φαμέν, ταὐτὸν ταὐτῷ κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπογιγνόμενον ἐάσει ταὐτὸν ὂν αὑτῷ σῶν καὶ ὑγιὲς μένειν· ὃ δ᾽ ἂν πλημμελήσῃ τι τούτων ἐκτὸς ἀπιὸν ἢ προσιόν, ἀλλοιότητας παμποικίλας καὶ νόσους φθορὰς τε ἀπείρους παρέξεται. δευτέρων δὴ ξυστάσεων αὖ κατὰ φύσιν ξυνεστηκυιῶν δευτέρα κατανόησις νοσημάτων τῷ βουλομένῳ γίγνεται ξυννοῆσαι. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀστοῦ τε καὶ σαρκὸς

XVII 4 πυκινοκείνητος umbras litterarum secutus K; cf. test. 5 ῥηγνύηται] prima littera ρ vel γ, ι, φ, ψ 6 εγμαγηο P; ultima ante lac. littera ο, certe non ν 7 K 8 συννοσεῖ K 10—12 K 11 δὲ] cf. 44

XVII γένεσιν τῶν σωμάτων ἢ παρὰ τ[ὰ τούτ(ων)]
περισσώματα. καὶ παρὰ μὲν τὰ στ[οιχεῖα]
γίνονται [νόσοι], ὅταν ἢ πλείονα γένη [τὸ]
εἶδος μεταβάλῃ ἢ ἐν ἀνοικείωι [καθί-]
σῃ· καὶ γ(ὰρ) πλείονα γενόμενα τα[ῦτα]
τὰ στοιχεῖα νόσους κ(ατα)σκευάζ[ει διὰ]
τὸ πλῆθος· ※ καὶ μὴ[ν] καὶ ἐγβάν[τα τοῦ]
οἰκείου εἴδους πάλι ἐνποιεῖτ[αι ἑτέροι]ς.
ἀλλὰ γ(ὰρ) ὡς ὁμοίως καὶ ἐν ἀνοικ[είοις τό-]
ποις ταχθέντα νόσους ἐπιφέ[ρει πολλὰ]ς
τοῦτο τὸ δὴ ἐν ἀνοικείῳ τόπ[ωι γι(νόμενον) εἶδο]ς.
καὶ παρὰ μ(ὲν) τὴν τ(ῶν) στοιχείων διά[θεσιν]
οὕτως συνίστανται αἱ νόσοι. ※ ※ π[αρὰ δὲ α]ὖ
τὴν γένεσιν τ(ῶν) σωμάτ(ων) γί(νονται) νόσοι τινὲς τοιούτω(ν),
οἷον ἡ σὰρξ λαμβάνει τὴν γένεσ[ιν]
ἐξ αἵματος πεπηγότος καὶ συνεσ[τα-]
μένου, τὰ δὲ νεῦρα ἀποτελεῖται ἐκ [τῶν]
[[ε]]ἰνῶν τοῦ αἵματος. ταύτῃ δὲ ἀναιρ[ε-]
θεισῶν τ(ῶν) τοῦ αἵματος ἰνῶν ἄπη[κτον]
διαμένει λοιπὸν τὸ αἷμα, ὃ γί(νεται) ἐν ἐκ[είνῃι,]
ὅτι ἡ μ(ὲν) σὰρξ ἐξ αἵματος λαμβάνει
τὴν γένεσιν, τὰ δὲ νεῦρα ἐκ τ(ῶν) το[ῦ]

καὶ νεύρου ξυμπαγέντος, ἔτι τε αἵματος ἄλλον μὲν τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ᾗπερ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ ξυμπέπτωκεν, ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται, τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρκες μὲν καὶ νεῦρα ἐξ αἵματος γίγνεται, νεῦρον μὲν ἐξ ἰνῶν διὰ τὴν ξυγγένειαν, σάρκες δὲ ἀπὸ τοῦ παγέντος, ὃ πήγνυται χωριζόμενον ἰνῶν· τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν ἀπιὸν αὖ γλίσχρον καὶ λιπαρὸν ἅμα μὲν τὴν σάρκα κολλᾷ πρὸς τὴν τῶν ὀστῶν φύσιν αὐτό τε τὸ περὶ τὸν μυελὸν ὀστοῦν τρέφον αὔξει, τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν ὀστῶν διηθούμενον καθαρώτατον γένος τῶν τριγώνων λειότατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀστῶν καὶ στάζον, ἄρδει τὸν μυελόν, καὶ κατὰ ταῦτα μὲν γιγνομένων ἑκάστων ὑγίεια ξυμβαίνει τὰ πολλά· νόσοι δέ, ὅταν ἐναντίως.

XVII 14. 15 K 17—19 K 20 ἑτέροις] praelongi versus litteram ultimam servavit margo sin. c. XVIII itemque v. 22. 23. 26. 46 21. 22 K 22 πολλὰς (sive malis τινὰς) ex ς in c. XVIII residua restitui 23 τόπωι K 24. 25 K 25 αὖ addidi cf. ad v. 26 26 τι extrema c. XVII, νεστο in vago fragmento, ιουτ (ω above) in marg. c. XVIII inveni; super το hasta litterae υ (cf. v. 25), cuius pars superior in extr. v. 25 relicta 27—30 K 31 extr. απη vel απυ P 34 K

XVII αἵματος ἰνῶν. ʽταύτηι δὴ συνέχεται, φησίν, καὶ τρέφεται τὰ σώματα ταῦ[τα] πρὸς τῆς πειμελῆς, τηκομένης αὐτῆς καὶ διὰ τ(ῶν) ἀραιοτήτ(ων) τ(ῶν) ὀστέ[ων] ἐπιχορηγουμένης καὶ τρεφούση[ς] τὰ ὀστέα. ὅταν μ(ὲν) [οὖν] οὕτως γί(νηται) ἡ τ(ῶν) [σω-]μάτ(ων) γένεσις, κατὰ φύσιν ἔχει τὸ ζῷιον· ὅταν δὲ μὴ οὕτως γί(νηται), ἀλ(λ᾽) ἐνηλ⟨λ⟩αγμέ[νως] ἡ γένεσις, νόσους ἐπιφέρει.᾽ καὶ π[ερὶ τὴν] γένεσιν δὲ τ(ῶν) σωμάτων ο(ὕτως). * * παρὰ [δὲ] τὰ περιττώματα συνίστα[νται τριχῶς] αἱ νόσοι, ἢ π[α]ρ[ὰ τὰς] φύσας [τὰς ἐκ τ(ῶν)] πε-

XVIII ριττωμ[άτ(ων) ἢ παρὰ] χολὴν ἢ φλέγμα· διὰ γὰρ ταῦ[τα τὰ τρία] καὶ κοινῇ καὶ ἰδίᾳ γί(νονται) νόσοι. κα[ὶ γ(ὰρ) ἓν μό]νον αὐτ(ῶν) νόσου[ς] ἐπιφέρει καὶ δύο σ[υνάμφω] συνελθόντα πάλι νόσους κ(ατα)σ[κευάζ]ει. * ὡς ὁμοίως δὲ καὶ διὰ τὰ τρία σ[υγκατ]οισθέντα αἱ νόσοι ἀποτελοῦν[ται. κα]ὶ ἡ μ(ὲν) τοῦ Πλάτωνος δόξα πε[ρὶ νόσω]ν ἐν τούτοις. * * Φιλόλαος δὲ ὁ Κρ[ο]τωνιάτης συνεστάναι φ(ησὶν) τὰ ἡμέτερα σώμ[ατα ἐκ] θερμοῦ. ἀμέτ⟨οχ⟩α γ(ὰρ) αὐτὰ (εἶναι) ψυχροῦ [, ὑπομι]μνήσκων ἀπό τιν(ων) τοιούτ(ων)· τὸ σπέρμ[α (εἶναι) θερ]μόν, κατασκευαστικὸν δὲ τοῦτο τ[οῦ ζώιο]υ· καὶ ὁ τόπος δέ, εἰς ὃν

XVII 44] Plato Tim. p. 84 CD: τρίτον δ᾽ αὖ νοσημάτων εἶδος τριχῇ δεῖ διανοεῖσθαι γιγνόμενον· τὸ μὲν ὑπὸ πνεύματος, τὸ δὲ φλέγματος, τὸ δὲ χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξόδους ὑπὸ ῥευμάτων φραχθείς, ἔνθα μὲν οὐκ ἰόν, ἔνθα δὲ πλεῖον, ἢ τὸ προσῆκον πνεῦμα εἰσιὸν τὰ μὲν οὐ τυγχάνοντα ἀναψυχῆς σήπει, τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον καὶ ξυνεπιστρέφον αὐτὰ τῆκόν τε τὸ σῶμα εἰς τὸ μέσον αὐτοῦ διάφραγμά τ᾽ ἴσχον ἐναπολαμβάνεται, καὶ μυρία δὴ νοσήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἱδρῶτος ἀπείργασται.

XVII 36 K 38—40 K 42—46 K 46 extr. τε in col. XVIII. XVIII 1—3 K 5—7 K 9 κρωτωνιατης P: suppl. K 10 K ἀμέτοχα emendavi ex v. 16. 17: αμετα vel αμεγα P; inde ἀμιγῆ K 11. 12 suppl. Blassius

XVIII ἡ καταβολ[ή — μήτρα] δὲ αὕτη — (ἐστὶν) θερμοτέρα καὶ ἐοι[κυῖα ἐκ]είνωι· [τὸ δὲ ἐοικός τινι ταὐτὸ δύναται, ὧι ἔοικεν]· ἐπεὶ δὲ τὸ κατασκευάζ[ον ἀμέ]τοχ[ό]ν (ἐστιν) ψυχροῦ καὶ ὁ τόπο[ς] δέ, ἐν ὧ[ι ἡ κ(ατα)βολ]ή, ἀμέτοχός (ἐστιν) ψυχροῦ, δῆλον [ὅτι καὶ τὸ] κ(ατα)σκευαζόμενον ζῶιον τοιοῦτο[ν γίνε]ται. * εἰς δὲ τούτου τὴν κατασκ[ευὴν ὑ]πομνήσει π(ροσ)χρῆται τοιαύτῃ· με[τὰ γ(ὰρ)] τὴν ἔκτεξιν εὐθέως ⟦το⟧ τὸ ζῶιον ἐπισπᾶται τὸ ἐκτὸς πνεῦμα ψυχρὸν ὄν· εἶτα πάλιν καθαπερεὶ χρέος ἐκπέμπει αὐτό. * διὰ τοῦτο δὴ καὶ ὄρεξις τοῦ ἐκτὸς πνεύματος, ἵνα τῆ[ι] ἐπ(ε)ισάκτωι τοῦ πνεύματος ὁλκῆ θερμ[ό]τερα ὑπάρχοντα τὰ ἡμέτερα σώματα π(ρὸς) αὐτ(οῦ) καταψύχηται. * καὶ τὴν μ(ὲν) σύστασιν τῶν ἡμετέρων σωμάτ(ων) ἐν τούτοις φ(ησίν). * *

λέγει δὲ γί(νεσθαι) τὰς νόσους διά τε χολὴν καὶ αἷμα καὶ φλέγμα, ἀρχὴν δὲ γί(νεσθαι) τῶν νόσων ταῦτα· ἀποτελεῖσθαι δέ φ(ησιν) τὸ μ(ὲν) αἷμα παχὺ μ(ὲν) ἔ[σω] παραθλιβομένης τῆς σαρκός, * λεπτὸν δὲ γί(νεσθαι) διαιρουμέν(ων) τ(ῶν) ἐν τῆι σαρκὶ ἀγγείων· τὸ δὲ φλέγμα συνίστασθαι ἀπὸ τῶν ὄμβρων φ(ησίν). λέγει δὲ τὴν χολὴν ἰχῶρα εἶναι τῆς σαρκός. * παράδοξόν τε α[ὐ]τὸς ἀνὴρ ἐπὶ τούτου κεινεῖ· λέγει γ(ὰρ) μηδὲ τετάχθα[ι] ἐπὶ τ[ῶι] ἥπατι χολήν, ἰχῶρα μέντοι τῆς σαρκὸς (εἶναι) τὴν χολήν. * τό τ' αὖ φλέγμα τ(ῶν) πλείστ(ων) [ψυχ⟨ρ⟩ὸν] ⟦~~θερμον~~⟧ (εἶναι) λεγόντων αὐτὸς θερμὸν τῆι φύσει ὑπ[ο]τί-

XVIII 14 cf. VIII 30 15 K 16 partim K ἀμέτοχον] altera ο ex η corr. P ψυχρον P 17 K ω ex η P 18 K 19 ἔσται suppl. K 20 K 24 post ὄρεξις non desidero γί(νεται) 33 μεσον, addito εν compendio et superscriptis σω (vel σωι), denique deletis σον in μεν εσω corr. P 38 α^{υ}τος P 42 ψυχον (sic) deletis θερμον superscr. P 43 K

XVIII θεται· ἀπὸ γ(ὰρ) τοῦ φλέγειν φλέγμα εἰρῆσθ(αι)· ταύτηι δὲ καὶ τὰ φλεγμαίνον[τα] μετοχῇ τοῦ φλέγματος φλεγμ[α]ί-νει. καὶ ταῦτα μ(ὲν) δὴ ἀρχὰς τ(ῶν) νό[σ]ων ὑπ[ο]τίθεται, * [σ]υνεργὰ δὲ ὑπερβολ[άς] [τε] θερμασίας, τροφῆς, κ(ατα)ψύ[ξ]εω[ς καὶ]

XIX [ἐ]νδείας ⟨τούτων ἢ⟩ τ(ῶν) τού[το]ι[ς π(αρα)πλησίων. * * ὁ δὲ] Πόλυβος ἐξ ἑνὸς μ[(ὲν) στοιχείου οὐ λέγει] τὰ ἡμέτερα σ[ώματα συνεστάναι, τὴν δὲ] αὐτὴν φύσιν [ὁμοίως πᾶσιν εἶναι, ἥπερ ἐκ]

XVIII 44] Galenus de nat. pot. II 11 [II 130 K. III 195, 17 Helmr.]: Πρόδικος δ' ἐν τῷ Περὶ φύσεως ἀνθρώπου γράμματι τὸ συγκεκαυμένον καὶ οἷον ὑπερωπτημένον ἐν τοῖς χυμοῖς ὀνομάζων φλέγμα παρὰ τὸ πεφλέχθαι, τῇ λέξει μὲν ἑτέρως χρῆται, φυλάττει μέντοι τὸ πρᾶγμα κατὰ ταὐτὸ τοῖς ἄλλοις. τὴν δ' ἐν τοῖς ὀνόμασι τἀνδρὸς τούτου καινοτομίαν ἱκανῶς ἐνδείκνυται καὶ Πλάτων. ἀλλὰ τοῦτό γε τὸ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζόμενον φλέγμα τὸ λευκὸν τὴν χρόαν, ὃ βλένναν ὀνομάζει Πρόδικος, ὁ ψυχρὸς καὶ ὑγρὸς χυμός ἐστιν οὗτος καὶ πλεῖστος τοῖς τε γέρουσι καὶ τοῖς ὁπωσδήποτε ψυγεῖσιν ἀθροίζεται καὶ οὐδεὶς οὐδὲ μαινόμενος ἂν ἄλλο τι ἢ ψυχρὸν καὶ ὑγρὸν εἴποι ἂν αὐτόν. (cf. Gal. VII 348 K. et *Herm.* XXVIII 418 sqq.)
XIX 2] Hippocrates de nat. hom. 3 [VI 38, 5 L.]: πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι ὅτε οὐδ' ἀπὸ τῶν πλειόνων γίνεται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τῆς πρὸς ἄλληλα; ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ὑπαρχούσης καὶ τῶν ἄλλων πάντων καὶ τῆς τοῦ ἀνθρώπου μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ' ἕκαστον τῶν ξυμβαλλομένων ἐς τὴν γένεσιν ἔχειν τὴν δύναμιν ἐν τῷ σώματι οἵηνπερ συνεβάλετο. καὶ πάλιν γε ἀνάγκη ἀναχωρεῖν ἐς τὴν ἑωυτοῦ φύσιν ἕκαστον τελευτῶντος τοῦ σώματος τοῦ ἀνθρώπου τό τε ὑγρὸν πρὸς τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρὸν καὶ τὸ θερμὸν πρὸς τὸ θερμὸν καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν. τοιαύτη δὲ καὶ τῶν ζῴων ἐστὶν ἡ φύσις καὶ τῶν ἄλλων πάντων· γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως πάντα. συνίσταταί τε γὰρ αὐτῶν ἡ φύσις ἀπὸ τούτων τῶν εἰρημένων πάντων καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα ἐς τὸ αὐτὸ ὅθεν περ συνέστη ἕκαστον, ἐνταῦθα οὖν καὶ ἀπεχώρησεν. Ibid. 2 [VI 34, 8 L.]: τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν, ὡς ἄνθρωπος αἷμά ἐστιν, οἱ δὲ αὐτῶν χολήν φασιν εἶναι τὸν ἄνθρωπον, ἔνιοι δέ τινες φλέγμα· ἐπίλογον δὲ ποιέονται καὶ οὗτοι πάντες τὸν αὐτόν· ἓν γὰρ εἶναί φασιν, ὅ τι ἕκαστος αὐτῶν βούλεται ὀνομάσας καὶ τοῦτο μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ γίνεσθαι γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ παντοῖον. ἐμοὶ δὲ οὐδέν τι δοκεῖ ταῦτα οὕτως ἔχειν· οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα καὶ ἐγγύτατα τούτων ἀποφαίνονται. ἐγὼ δέ φημι· εἰ ἓν ἦν ὥνθρωπος οὐδέποτ' ἂν ἄλγεεν· οὐδὲ γὰρ ἦν ὑφ' οὗ ἀλγήσειεν ἓν ἐών· εἰ δ' οὖν καὶ ἀλγήσειεν, ἀνάγκη καὶ τὸ ἰώμενον ἓν εἶναι· νῦν δὲ πολλά· πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα, ἃ ὅταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται καὶ ξηραίνηταί τε καὶ ὑγραίνηται νόσους τίκτει.

VIII 45—48 K 48 vel υπερβαλ, sed ὑπερβαλλούσας vel propter spatium suppleri nequit 49 τε pallidiore atramento ante versum supplevit P

XIX 1 τούτοις] incertarum litt. apices inferiores fere servavit P τούτων ἢ omissa a P supplevit M. Fraenkelius παραπλησίων (cf. XXXII 48. XXXVII 20. XXXIX 30 2 qui hiatus singulas litteras capientes in vv. 2—8 post tertiam quamque litteram apparent, papyri ruga effecti 4 ὁμοίως vestigiis infra relictis aptum

XIX ψυχροῦ τε καὶ θερμ[οῦ, οὐ χωρὶς ὄντ(ων) τ]ούτ(ων), ἀλλὰ κεκραμέν(ων) αὐ[τ(ῶν), συνέστηκεν· μετα-] βαλὸν δὲ θάτερον θατ[έρῳ νόσον ἀπο-] τελεῖν. ※ δευτέρα[ν δὲ ἀποτελεῖσθαι] τῶν σωμάτ(ων) μετα[βολὴν ἀπὸ αἵματός τε] καὶ φλέγματος καὶ χ[ολῆς ξανθῆς τε] καὶ μελαίνης. ἀπὸ δ[υνάμεως γ(ὰρ) πάντ(ων)] τούτ(ων) ἢ ἑνὸς αὐτ(ῶν) γί(νεσθαι) [ταύτην τὴν] μεταβολήν, ἣ κ(ατὰ) τὸν α[ὐτὸν τόπον γι(νομένης) τῆς] συμμίξεως κ(ατὰ) φύσιν [γ(ίνεται)· ἐὰν δ' ἐν τῶι] σώματι ⟦γίνεται⟧ χωρισ[θῇ τι ἀπὸ τ(ῶν) ἄλλ(ων),] νόσους γί(νεσθαι). νοσεῖν δὲ καὶ ἀ[φ' ὧνπερ ἐχω-] ρίσθη ⟦εαν⟧ τόπων καὶ εἰς [οὕσπερ ἐχώ-] ρησεν. Μενεκράτ[η]ς δὲ ὁ Ζε[ὺς ἐπι-] κληθεὶς ἐν Ἰατρικῆι δ[ε]ῖξίν [τινα τ(ῶν)] σωμάτ(ων) ἐκτιθέμενος καὶ [μέλλ(ων) αἰτιολ(ογεῖν)] τὰ πάθη, πρότερον περὶ τ(ῶν) πο[ιοτήτων] πολυπραγμον(ῶν) τ(ῶν) σωμάτ(ων), συν[εστάναι] λέγει τὰ σώματα ἐκ τ(ῶν) τεσ[σάρων] στοιχείων, β̄ μ(ὲν) θερμῶν, [β̄ δὲ ψυχρῶν· καὶ] θερμῶν μ(ὲν) αἵματος ⟨καὶ⟩ χολῆς, [ψυχρῶν] δὲ πνεύματος καὶ φλέγμα[τος. ※ καὶ] τούτ(ων) μ(ὲν) δὴ μὴ στασιαζόντ(ων), ἀ[λλ' εὐκρό-]

XIX 8] Hippocrates de natura hom. 4 [VI 38, 19 L. cf. Galen. de plac. Hipp. et Plat. p. 677,13 ss. M.]: τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν, καὶ ταῦτά ἐστιν αὐτῷ ἡ φύσις τοῦ σώματος καὶ διʼ αὐτὰ ἀλγεῖ καὶ ὑγιαίνει. ὑγιαίνει μὲν οὖν μάλιστα, ὅταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα δυνάμιος καὶ τοῦ πλήθεος καὶ μάλιστα μεμιγμένα ᾖ. ἀλγεῖ δ' ὅταν τούτων τι ἔλασσον ἢ πλέον χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκρημένον ᾖ τοῖσι πᾶσιν. ἀνάγκη γάρ, ὅταν τούτων τι χωρισθῇ καὶ ἐφ' ἑωυτοῦ στῇ, οὐ μόνον τοῦτο τὸ χωρίον, ἔνθεν ἐξέστη, ἐπίνοσον γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ ὑπερπιμπλάμενον ὀδύνην τε καὶ πόνον παρέχειν. καὶ γὰρ ὅταν τι τούτων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις· ἤν τ' αὖ πάλιν εἴσω ποιήσηται τὴν κένωσιν καὶ τὴν μετάστασιν καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτῷ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη καὶ ἔνθα ὑπερέβαλεν.

XIX 18] cf. Ephippi Peltasta fr. 17 [II 260 Kock. cum not.]. Ael. V. H. XII 51

XIX 5 extr. ουτ in sinistro marg. col. XX 5 P 7 θάτερον θατέρου] cf. Hippocr. q. f. de locis in hom. 1 [VI 276. 278 L.] τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιεῖ. compilator unum sed primarium contrariorum par respicit 7. 8 ἀποτελεῖν K 18 K 22—30 K

XIX τως διακειμέν(ων) ὑγιαίνει⟨ν⟩ τ[ὸ σῶμα,] δυσκρότως δὲ ἐχόντων νο[σεῖ⟨ν⟩. τότε] γ(ὰρ) ἐκθεῖ⟨ν⟩ ἐκ τ(ῶν) ἡμετέρων σω[μάτων φλέ-]γματα, δοθίονας κ[αὶ τὰ τούτοις ὅμοια.] καὶ κατάρρους δὲ ἐ[κ τῆς ὑπερβολῆς τοῦ] φλέγματος διαφόρ[ους γί(νεσθαι). . . . . .] ούμενον γ(άρ), φ(ησίν), ἐν τῶι σώματι [. . . . . . . εἰ-]σιόντι δὲ φλέγματι τὸ κειθα[. . . . . . .] νομενεισ [.] αιπο [. .] την κ[. . . . .] ἐμμεῖναν δὲ τοῦτο πυρρὰν [χολὴν] ἀπογεννᾶι. ἐμμείνασα δὲ α[ὕτη] καὶ παλαιωθεῖσα μέλαιναν ἀπογ[εννᾶι] χολήν. * ἣν δὲ καὶ παλαιωθεῖσ[αν] καὶ ὑπέρχολον γενομένην [δέχηταί τι,] ὅπου ἂν τύχῃ, μέρος καὶ κυ[ῇ, οὐδέν φ(ησιν)] ἀγαθὸν ἐργάζεσ[θα]ι· οἰσθεῖσα [μ(ὲν) γὰρ] ἐπὶ ἰσχία ἰσχιαδ[ι]κὴν ἐμποιεῖ, ἐπὶ δὲ τὸν πνεύμονα περι[πνευμονίαν,] ἐπὶ δὲ τὰς πλευρὰς πλευ[ρεῖτιν,] ἐπὶ δὲ τὰ σπλάγχ[να] οἰσθε[ῖσα] καῦσον ἀπεργάζεται· τοια[ῦτα δὲ πολ(λὰ)]

XX καὶ διάφορα γί(νεται) πάθη. * * ὁ δὲ Α[ἰγινήτης] Πέτρων συνεστάναι φ(ησὶν) τὰ ἡ[μέτερα] σώματα ἐκ δισσῶν στοιχείων, ψ[υχροῦ] τε καὶ θερμοῦ, ἐφ' ἑτέρωι δὲ τού[των] ἀπολείπει τι ἀντίστοιχον, τῶι μ[ὲν] θερμῶι τὸ ξηρόν, τῶι δὲ ψυχρῶι [τὸ ὑγρ(όν).] καὶ ἐγ μ(ὲν) δὴ τούτ(ων) συνεστάναι τὰ σώ[ματ(α).] φησὶν δὲ γί(νεσθαι) τὰς νόσους ἁπ[λῶς] [μὲν] διὰ τὰς περιττώσεις τῆς τρ[οφῆς·] ὅταν, ἃ σύμμετρα, ἡ κοιλία μὴ λ[α-]

XIX 28 υγιαινει et 30 εκθει perperam scripsisse P evincit δοθίονας v. 31: correxi 33. 34 fortasse ἀλλοιούμενον, sed deest sententiae finis 34 super σωματι addidit velut εστ, corruptelam simul indicans obliqua ad sinistram lineola P 39. 40 K 42 κυι vel κτι P 43—47 K 47 σπλαγχαν sic P

XX 2—11 K 10 correcturae super ὅταν (fortasse γάρ vel φησίν) leve vestigium servare videtur P ασυμμετρα clare P; fortasse α prius delendum, sed locus dubius

XX [βοῦσ]α, πλẹίω δέ, μὴ κατεργάσηται αὐτά, συμβαίνει νόσους γί(νεσθαι). ἢ ἀπὸ τ(ῶν) στοιχείων τ(ῶν) προειρημέν(ων), ὅταν ἀνώμαλα ἦι, νόσους ἀπεργάζεται. περὶ δὲ τῆς διαφορᾶς τῆς κατὰ τὰς νόσους οὐδὲν διακριβοῖ. περὶ δὲ τῆς χολῆς ἰδιώτερον παθολογεῖ. φ(ησὶν) γ(ὰρ) αὐτὴν ὑπὸ τ(ῶν) [νόσων] ⟦σωματ(ων)⟧ κ(ατα)σκευάζεσθ(αι). οἱ μ(ὲν) γ(ὰρ) ἄλλοι ἀπὸ τῆς χολῆς λέγουσι γί(νεσθαι) τὰς νόσους, οὗτος δὲ ἀπὸ τ(ῶν) νόσων τὴν χολήν. καὶ σχεδὸν [οὗτος ὡ]ς ὁ Φιλόλαος οἴεται μὴ (εἶναι) ἐν ἡμῖν χολὴ[ν ἢ] ἀ[χρ]ẹịαν. καὶ κ(ατὰ) μ(ὲν) ταῦτα συνηγόρευσεν τῶι Φιλολάωι, κ(ατὰ) δὲ τἆλλα ạụṭọνει.

Φιλιστίων δ' οἴεται ἐκ δ ἰδεῶν συνεστάναι ἡμᾶς, τοῦτ' (ἔστιν) ἐκ δ̄ στοιχείων· πυρός, ἀέρος, ὕδατος, γῆς. (εἶναι) δὲ καὶ ἑκάστου δυ(νάμεις), τοῦ μ(ὲν) πυρὸς τὸ θερμόν, τοῦ δὲ ἀέρος τὸ ψυχρόν, τοῦ δὲ ὕδατος τὸ ὑγρόν, τῆς δὲ γῆς τὸ ξηρόν. * * τὰς δὲ νόσους γί(νεσθαι) πολυτρόπως κατ' αὐτόν, ὡς δὲ τύπωι καὶ γενικώτερον εἰπεῖν τριχῶς· ἢ γ(ὰρ) παρὰ τὰ στοιχεῖα ἢ παρὰ τὴν τ(ῶν) σωμάτ(ων) διάθεσιν ἢ παρὰ τὰ ἐκτός. * παρὰ μ(ὲν) οὖν τὰ στοιχεῖα, ἐπειδὰν πλεονάσῃ τὸ θερμὸν καὶ τὸ ὑγρόν, ἢ ἐπειδὰν μεῖον γένηται καὶ ἀ⟦υ⟧μα[υ]ρὸν τὸ θερμόν. * * παρὰ δὲ τὰ ἐκτὸς γ̄· ἢ γ(ὰρ) ὑπὸ τραυμάτ(ων) καὶ ἑλκῶν ἢ [ὑπὸ] ὑπερβολῆς θάλπους, ψύχους, τ(ῶν) ὁμοίων, ἢ ὑπὸ μεταβολῆς θερμοῦ εἰς ψυχρὸν ἢ ψυχροῦ εἰς θερμὸν ἢ τροφῆς εἰς τὸ ἀνοίκειον καὶ διεφθọρός. * παρὰ δὲ τὴν τῶν σωμάτ(ων) διάθεσιν ο(ὕτως)· ʻὅταν γ(άρ), φ(ησίν), εὐ-

XX 11 πλειω ut videtur ex πληρω corr. P cf. XXXIII 39 18 σωματ(ων), non deletis ατ(ων) P 23 ἀχρείαν scripsi cf. XXX 35. XVIII 39 sqq.: α . . ειαν vel α . . αιον P 24 ταλλααυτονει vel ταaλλαηγνει P; post ea rescissa papyrus, ut tamen litterae procerae velut τ, ρ non possint suppleri. fortasse αὐτο⟨γνωμο⟩νεῖ vel αὐτον⟨ο⟩εῖ

XX πνοῇ ὅλον τὸ σῶμα καὶ διεξίῃ ἀκωλύτως τὸ πνεῦμα, ὑγίεια γί(νεται)· οὐ γ(ὰρ μό(νον) κ(ατὰ) τὸ στόμα καὶ τοὺς μυκτῆρας ἡ ἀναπνοὴ γί(νεται), ἀλ(λὰ) καὶ καθ' ὅλον τὸ σῶμα. ὅταν δὲ μὴ εὐπνοῇ τὸ σῶμα, νόσοι γί(νονται), καὶ διαφόρως· καθ' ὅλον μ(ὲν) γ(ὰρ) τὸ σῶμα τῆς ἀναπνοῆς ἐπεχομένης, νόσος

XXI [. .]αθ[. . . . .] [. . .]σα[. . . . . τ]ὰς γι(νομένας) [. . .]λλ[. . . . .] κεινεῖσθαι [. . .]μὴ [. . . . .]εν τὰ ἠρεμοῦ]ντ[α . . . .]τοντα [. . .]ντ[. . . . .]η ἐν τοῖς [. .]ασ[. . . . .]ειλοντα [. . .]εν σ[. . . . .]ως νόσοι γί(νονται) [. .]εν ταῦτ[α . . . .] * ἡμῖν δὲ [.]δηκαιαν [. . . . . ἀνθ]ρώπου ā καὶ [. . .]οι[. . . . .]ασεως ταύτη[.] δια[. . .]ηναπ[. . . . . .] παθῶν αἰτιολογίας [* συ]νέστη[κεν δὲ ὁ] ἄνθρωπος

ἐκ [ψυ]χῆς καὶ σώμ[ατος. ὥ]ς [δ'] εἰς τοῦτο ὑπο[τυπώ]σεως οὐ χρε[ία (ἐστίν), περ]ὶ μ(ὲν) ψυχῆς [ἄλλοι]ς ἀ[να]βάλλομα[ι· ἡμῖν δὲ] τοῦ σώμα[τος μ]ελητέον, ἐπεὶ [μάλιστα] περὶ τοῦτο [σπου]δάζει ἡ ἰατρικ[ή. * * τοῦ σ]ώματος

μ[(ὲν) ο]ὖν τὰ μ(έν) (ἐστιν) ἁπλᾶ μέρη, τὰ δὲ σύνθετα. ἁπλᾶ δὲ καὶ σύνθετα λαμβάνομ(εν) π(ρὸς) αἴσθησιν, καθὼς καὶ Ἡρόφιλος ἐπισημειοῦται λέγων ο(ὕτως)· "λεγέσθω δὲ τὰ φαινόμενα π[ρ]ῶτα, καὶ εἰ μὴ (ἔστιν) πρῶτα." ὁ μ(ὲν) γὰρ Ἐρασί[στρατ]ος καὶ π[ό]ρρω τοῦ ἰατρικοῦ κανό[νος π]ροῆλθε· ὑπέλαβεν γ(ὰρ) τὰ πρῶτα

XX 45 μόνον] μ̇ P; punctum ex o concretum, non liturae signum credo

XXI 10 sensus videtur: ἤδη καὶ ἀνάγκη εἰπεῖν περὶ ἀνθρώπου πρῶτον καὶ ἐν τοῖς ἑξῆς ἀπὸ τῆς συστάσεως ταύτης διασημῆναι τὰς τῶν παθῶν αἰτιολογίας (cf. XXII 5) 13 K 16 prima littera conspicua aut σ aut ε P 17 ελητεον vel ενιτεον vel επιτεον P 24—26 K 24 πωρρω P

XXI [σώμα]τα λόγωι θεωρητὰ (εἶναι), ὥστε τὴν [αἰσθητ]ὴν φλέβα συνεστάναι ἐγ λόγωι θ[εωρη]τ(ῶν) σωμάτ(ων), φλεβός, ἀρτηρίας, νεύρο(υ). ἀλλὰ τοῦ[τ]ον παραιτητέον. * ἡμῖν δὲ λεκτέον, ὡς τῶν σωμάτ(ων) τὰ μ(ὲν) (εἶναι) ἁπλᾶ τὰ δὲ [σύ]νθετα, π(ρὸς) αἴσθησιν τούτ(ων) λαμβα[νο]μέν(ων). * * ἁπλᾶ μ(ὲν) οὖν (ἐστιν) τὰ ὁμοιομερῆ [τὰ] κ(ατὰ) τὰς τομὰς διαιρούμενα εἰς ὅμ[οι]α μέρη ὡς ἐγκέφαλός τε καὶ νεῦρον καὶ ἀρτηρία ⟨καὶ⟩ φλὲψ καὶ τὰ ὑγρά. ἕκασ[το]ν γ(ὰρ) τούτ(ων) καὶ ὁμοιομερές (ἐστιν) καὶ τ[εμ]νόμενον εἰς ὅμοια χωρίζεται μέ[ρη. * *] σύνθετα δ' (ἐστὶν) τὰ ἀν[ομοιο]μερῆ ἢ τὰ κατὰ [τὰ]ς τομὰς εἰς ἀνόμοια χωριζόμεν[α] μέρη ὡς χείρ, σκέλος, κεφαλή, ἧπα[ρ, πν]εύμων, ἕκαστον τ(ῶν) τοιούτ(ων)· καὶ γὰρ [ἀνο]μοιομερῆ (ἐστιν) καὶ κ(ατὰ) τὰς τομὰς εἰς ἀ[νόμ]οι[α] χωρ[ίζετ]αι μέρη. * * τ(ῶν) δ' ἁπλ(ῶν) τὰ μ[(έν) (ἐστιν) κεκερματισ]μένα, τὰ δὲ ἡνωμένα. κ[εκερματισμ(έν)α] μ(ὲν) οὖν (ἐστιν) αἷμα, χολή, φλέγμ[α καὶ ὅλ]ως πάντα τὰ ἐν ἡμῖν ὑγρά, ὁ[μοίως φῦσα], πνεῦμα, τὰ τούτοις ἐοικότα, [ἡνωμέν]α δὲ τὰ μὴ τοιαῦτα. * * τ(ῶν) δὲ [ἡνωμέν(ων)] αὐτ(ῶν) τὰ μ(έν) (ἐστιν) διατεταμέ[να, τὰ δὲ] παχέα τε καὶ διεστηριχότα, τὰ [δὲ οὔτε διεσ]τηριχότα οὔτε

XXI 28; cf. XXII 51] Galenus q. d. Isag. 9 [XIV 697 K.]: καὶ Ἐρασίστρατος ὡς ἀρχὰς καὶ στοιχεῖα ὅλου σώματος ὑποτιθέμενος τὴν τριπλοκίαν τῶν ἀγγείων νεῦρα καὶ φλέβας καὶ ἀρτηρίας. Galenus de nat. pot. II 6 [III 171, 1 Helmreich, II 96 K.] φλέβας ἔχειν ἐν ἑαυτῷ καὶ ἀρτηρίας τὸ νεῦρον ὥσπερ τινὰ σειρὰν ἐκ τριῶν ἱμάντων διαφερόντων τῇ φύσει πεπλεγμένην. num λόγῳ θεωρητὰ sint, disputat idem ib. [p. 172, 3 sqq. H. 97 sqq. K.]

XXI 27 *αἰσθητὴν*] ante alterum η vidisse mihi videbar potius φ quam τ. at τ non excluditur et a sensu non commendatur velut *καθ' ἀφὴν* 28 K 29 non extat τοῦτο μ(ὲν) 30 εἶναι claro compendio P. fortasse quod ferri potest, hic scriptor sibi non permisit. correxit quidem XXIV 32 P 31—34 K 36—44 K 38 ανοιμερη, suprascr. ομοιο P 44 *κεκερματισμένα* hic et 45 spatiis et vestigiis ductus dubitanter supplevi, ut particularum in illis flumen Platonica voce significetur 46 K 48 K 50 K

XXI 52 δια[ταμέ]να. * * διατεταμένα μ(ὲν) οὖν
ν[εῦρον, ἀδή]ν, ἀρτηρία, φλέψ, τὰ τούτοις

XXII ἐγγύς. * * δ[ιεστηρι]χότα δὲ ὀστέα, χόν-
δροι, τὰ ὅμοια. * τὰ μεταξὺ δὲ τούτ(ων) ἐγκέ-
φαλος, μυελός, τὰ ἐοικότα· καὶ ἡ μ(ὲν) τοῦ
ζώιου σύστασις ὡ[ς ἐν κε]φαλαί[οι]ς
τοιαύτη (ἐστίν). * * [ἰδ]ίαι [δ]ὲ π[ερὶ τῆς]
οἰκονομίας αὐτῆ[ς νῦν ἀναγκαῖον δοκεῖ]
εἰπεῖν· οὕτως γ(ὰρ) ἂν [εἴη σύμμετρον τῶι λό(γῳ·)]
ἀπὸ πάσης δὴ τοίνυν [τῆς συστάσεως τ(ῶν)]
σωμάτ(ων) συνεχεῖς [μ(ὲν)] ἀπ[οφοραὶ γίνοντα]ι,
καὶ ἀπὸ τῆς ἐμψύχου μᾶλλ[ον ἢ ἀ]πὸ τῆς
[ἀ]ψύχου διά τε τὴν θερμασί[αν κ]αὶ
διὰ τὴν κείνησιν, * ὅτ[ι κ(ατὰ) τὴν διαφο]ρὰν
τῶν εἰρημέν(ων) ἀπὸ τῆς [ἐν ἡμῖν θερμα]σίας
μᾶλλον ἀποφοραὶ [τ(ῶν) σωμ]άτ[(ων) γί(νονται) ἢ] ἀπὸ
τῶν ἐκτός· τὰ γ(ὰρ) ἑψόμενα [καὶ ἁπλῶς θερ-]
μαινόμενα τ(ῶν) ὑδάτ(ων) μικρότερα γί(νεται) [παρ]ὰ
τὴν θερμασίαν. [. . . .] τῶι ἄνω π[νέο]υ-
σαν αὐτὴν φύσει συναποφέρειν [ἑαυτῆι]
ἀτμοειδῶς πολλὴν ὑγρότη[τα καὶ ἅμα]
λεπτυνόμενον ὑπ' αὐτῆς τὸ [ὑγρ]ὸν
ἀτμοειδῶς ἀποφέρεσ[θαι. καὶ οὕτως μ(ὲν)]
ἐπὶ τ(ῶν) ἐκτός. διὰ ταὐτὰ [δὲ δοκεῖ γί(νεσθαι) ἡ]
ἀποφορὰ π(ρὸς) τῆς θερμασί[ας ἐπὶ τῶν]
ἡμετέρων σωμάτ(ων). * ἡτ[μισμ(έν)α γ(ὰρ) . .]
δύναται ἀποφέρειν ταυτ[.]τ(ων). καὶ τὰ μ(ὲν) [βαρ]έα
καὶ παχέα δυσκόλως διαφορεῖται[, τὰ δὲ]
κοῦφα καὶ ἐλαφρὰ εὐχερῶς, ὡς ἂν δὴ
τῆς κεινήσεως αἰ(τίας) ὑ(παρχούσης) τῆς ἀποφορᾶς.
καὶ γ(ὰρ) τὸ μ(ὲν) κατεραμμένον ἔδαφος

XXI 53 νεῦρον K ἀδήν] ultimum hastam servat P

XXII 4 K 6 αυτου legerat K 7 exemplum supplementi 10 K 11 K ἐμψύχου P. minus placet καὶ ἀπὸ τῆς ἐμψύχου ut dittographiam delere 17 αι (vel οι vel δι) ον (vel αν vel εν vel ατι) P; non sufficiant αἰ(τία) ἐν. fortasse διὰ τί; cf. XXXI 12 n. 18. 19 extremorum umbras servat P 24 extr. αὐτῇ compendiose? 25 ταῦτα ⟨ἀπ' αὐ⟩τῶν vestigiis aptum, non τὰ ὑγρὰ κτλ., cf. v. 35 al. 26 K 28 an ⟨παρ⟩αιτίας ut v. 34? 29 κατεραμμενον P, cf. ad XXVI 41

XXII οὐ πάνυ πολλὴν ἀποφορὰν ποιεῖται
διὰ τὸ βάρος, τὸ δὲ κ(ατά)ξηρον πλείστην
διὰ τὴν κουφότητα, ἧι καὶ κονιορτὸς
ἀποφέρεται πολύς, ἅτε δὴ τῆς κειν[ή]σεω(ς)
παραιτίας τούτ(ων) ὑ(παρχούσης). διὰ τὴν κείνη[σι]ν
οὖν ὡς ὁμοίως ἀποφορὰ ἀπὸ τ(ῶν) σωμάτων
γίνεται συνεχής. * τούτων δὴ ο(ὕτως) ἐχόντ(ων)
καὶ ἀποφορᾶς συνεχοῦς γινομένης
ἀπὸ τῶν ἡμετέρων σωμάτ(ων), εἴπ[ερ] ἀν-
τὶ τ(ῶν) ἀποφερομέν(ων) μὴ ἐγείνετο εἰς τὰ
σώματα π(ρόσ)θεσις, κἂν διεφθείρετο ῥαιδίως
τὰ σώματα. * ὅθεν ἡ φύσις ἐμηχα[νήσα]το
ὀρέξεις τε τοῖς ζώιοις καὶ ὕλην καὶ δυνά-
μεις, * ὀρέξεις μὲν εἰς τὸ τὴν ὕλην α[ἱ-]
ρεῖσθαι, * ὕλην δὲ εἰς ἀναπλήρωσιν τ(ῶν) ἀπο-
φερομέν(ων), * δυνάμεις μέντοι γε εἰς διοί-
κησιν τῆς ὕλης· καὶ γ(ὰρ) οὐδὲν ὄφελος ἦν
ὀρέξεως, εἰ μὴ ὕλη παρῆ[ν]. οὐδὲ μὴν
ὕλης ὄφελος ἦν, εἰ μὴ δυνάμεις παρῆ-
σαν αἱ διοικονομοῦ⟨σαι⟩. * * ἀλλὰ γ(ὰρ) ὕλ[η]ν
ὑπεβάλετο τροφήν τε καὶ πνεῦμα·
δύο γ(ὰρ) πρῶτα καὶ κυριώτατά (ἐστιν), οἷς δ[ιοι-]
κεῖται τὸ ζῶιον, ὥς φ(ησιν) ὁ Ἐρασίστρατος.
ἔνιοι δὲ ἐνκαλοῦσιν αὐτῶι καὶ λ[έ-]
γουσιν ἐκεῖνο ᾱ · οὐ [μ]όνον δύο εἶ[ναι]

XXII 51] Aliter Galenus q. d. Isag. XIV 697 (post l. ad XXI 28 cit.): παραλείπει τά τε ὑγρὰ καὶ τὰ πνεύματα. δυσὶ γὰρ ὕλαις ταῦτα [ταύταις?] διοικεῖσθαι λέγει τὸ ζῷον τῷ μὲν αἵματι ὡς τροφῇ, τῷ δὲ πνεύματι ὡς συνεργῷ εἰς τὰς φυσικὰς ἐνεργείας· οὐ παραλαμβάνει δὲ αὐτὰς ὡς ἀρχάς; cf. infra XXV 28.

XXII 33. 34 K 38 K 43 K 47 παρηι sic P 49 ὕλην K
50 ὑπεβάλετο] scil. ἡ φύσις cf. v. 41 aliter XXIII 8 51. 52 διοικεῖται incertum supplementum. ἀεὶ δεῖται K. primae litterae initium vel δ vel α vel ε, prima littera v. 52 aut δ aut κ (cursiva forma) aut μ (?). διοικονομεῖται (cf. XXIII 4) longius videtur, nisi forte medium vocis more suo transiluit P. de διοικεῖν cf. XXIII 10. XXIV 18. 19 Galen. II 111. 134 XIV 697 K. cf. test. ad XXII 51 53. 54 K

XXIII [. . . . .] [. . . . . κυρι]ώτατα· ὑπερβολὴν γ(ὰρ) οὐ[δετέρου ἡμῖν (εἶναι) ἀνα]γκαίαν. γ̄· οὐδὲ τούτο[ις πρώτοις διοικο]νομεῖται τὸ ζῶιον, ἀλ(λὰ) αὐτά (ἐστιν) δ[ιοικονομούμε]να ὑπὸ τῶν δυνάμεων. [καὶ ταῦτα μ(ὲν) λέγου]σι π(ρὸς) τὸν Ἐρασίστρατον, [ἃ ὕστερον ἐν οἰκ]είωι τόπωι πρὸς ἡμῶν διαπο[ρηθήσεται. * *] ἐπεὶ δὲ ὕλην ὑποβέβληται [τ]οι[α]ύ[τ]η[ν αἴ(τια) τιθε]ὶς τροφήν τε καὶ πνεῦμα ἁπάντ[ων, περὶ] τῆς ἑκατέρου διοικήσεως λαλήσ[ομ(εν), καὶ π]ρό[τε]ρον περὶ τῆς τοῦ πνεύματο(ς)· ἕλκετα[ι τ]οιγ(άρ)[τ]οι τὸ πνεῦμα ἔξωθεν ὑπὸ [τοῦ] στό[μα]τος καὶ τ(ῶν) μυκτήρων καὶ δι[ὰ τῆ]ς τρ[αχ]είας ἀρτηρίας φέρεται εἰς πν[εύμ]ον[α κ]αὶ καρδίαν, ἔτι δὲ θώρακα· διηθ[εῖται] δὲ καὶ εἰς κοιλίαν ὀλίγον διὰ τοῦ [στομά]χου καθ' ἡμᾶς, * οὐ μὴν δὲ κατὰ τὸν Ἐρ[α]σίστρατον. * * ἀπὸ τούτ(ων) δὴ τ(ῶν) τόπων φέρετα[ι εἰ]ς τὰς κ(ατὰ) μέρος ἀρτηρίας. φέρεται δὲ κ[α]ὶ εἰς τὰ κοιλώματα· ὡς ὁμοίως δὲ καὶ ε[ἰς] τὰ καθ' ὅλον τὸ σῶμα ἀραιώματα, εἶτα διεκθεῖ διὰ τ(ῶν) ἐν τῆι σαρκὶ φυσικῶν ἀραιωμάτων εἰς τὸ ἐκτός. τὸ δὲ πλεῖον ἐκπνεῖται διά τε τοῦ στόματος καὶ τ(ῶν) μυκτήρων. * * καὶ δὴ τοῦ εἰσπν[εο]μένου πλεῖον ἐκπνεῖται διὰ τούτ(ων) τ(ῶν) τόπων, λέγω δὲ διὰ στόματος καὶ μυκτήρων, ὅπερ (ἐστὶν) ἴσως παράδοξον. πῶς γ(ὰρ) οἷόν τ' (ἐστὶν) πλεῖον ἐκπνεῖσθ(αι), καίτοι γε ἀπὸ τοῦ εἰσπνεομένου ἀναλου-

XXIII 11] cf. Galenus de causis respir. [IV 466 K. fortasse Erasistrati memor]: ἀρχὴ μὲν οὖν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν ἑλκόμενος ἀὴρ ὕλη τυγχάνων τῆς κατὰ τὴν ἀναπνοὴν χρείας ... διὰ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα κομιζόμενος.

XXIII 1. 2 sensus τὰ πρῶτα, ἀλλὰ πλείω. β· οὐδὲ ταῦτα εἶναι | τοῖς σώμασι κυριώτατα κτλ. 7 ὕστερον] locus non servatur 15 πνεύμονα] prima littera similis τε, sed, nisi π omisit P, non fuit τε πνεύμονα; etiam extremae litterae dubiae, sed aliud vocabulum fingi nequit cf. testim. 17—21 K 25 εισπνοιμενου P

XXIII μένου τινὸς εἰς τὰ σώματα; ἀλλ' οὐκ (ἔστιν) παράδοξον· ὃν γ(ὰρ) τρόπον κατατάσσεταί τι εἰς τὰ σώματα ἀπὸ τοῦ εἰσπνεομένου, τὸν αὐτὸν τρόπον καὶ τῶι πνεύματί τινα π(ροσ)τίθεται ἀπὸ τ(ῶν) σωμάτ(ων) καὶ πλειόνά γε, ἅτινα καὶ πλεῖον ἀποτελεῖ τὸ ἐκπεμπόμενον πνεῦμα. * * ψυχρόν τε ὑπάρχον τὸ πνεῦμ(α) θερμὸν ἐκπέμπεται, ἅτε δὴ φερόμενον διὰ σωμάτ(ων) θερμῶν. ἀμέλει γ(ὰρ) τὴν εἰσπνοὴν γί(νεσθαί) φησιν εἰς τὸ τὸ πλεῖον θερμὸν τ[ὸ] περὶ τὴν καρδίαν κ(ατα)ζβέννυσθαι καὶ μὴ σωματούμενον κ(ατα)φλέγειν τὰ σώματα. * * τούς τε ὕπνους, ὥς φησιν ὁ Ἀρισ⟨το⟩τέλης, ἀποτελεῖσθαι τοῦτον τὸν τρόπον· τῆς γὰρ καρδίας φύσει θερμῆς ὑπαρχούσης καὶ ἐξ αὐτῆς ἀνηρτημένου τοῦ θερμοῦ, τοῦ δ' ἐγκεφάλου ψυχροῦ, συμβέβηκεν περὶ τῶι ἐγκεφάλωι συνίστασθαι ὑγρότητα τὴν ἀναφερομένην ὑπὸ [τ]ῆς θερμότητος ἀπὸ καρδίας, [ἣ]ν δὴ συνισταμένην κ(ατα)ψύχεσθαι

XXIII 39 φησιν] vix Erasistratus cf. Galenus l. c. [IV 471] ἢ τῆς ἐμφύτου θερμασίας ἀνάψυξίς τις, ὡς Φιλιστίων τε καὶ Διοκλῆς ἔλεγον, ... ἢ τούτων μὲν οὐδέν, ἐπιπληρώσεως δὲ ἕνεκεν ἀρτηριῶν ἀναπνέομεν, ὡς Ἐρασίστρατος οἴεται.

XXIII 42] Aristoteles de somno et vigilia 3 [p. 456a 30—32]: ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶν ἐπελθεῖν, τίνων γινομένων καὶ πόθεν ἡ ἀρχὴ τοῦ πάθους γίγνεται, τοῦ τ' ἐγρηγορέναι καὶ τοῦ καθεύδειν. Ibidem [456b 17—24]: οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο· ἀναγκαῖον γὰρ τὸ ἀναθυμιώμενον μέχρι του ὠθεῖσθαι, εἶτ' ἀντιστρέφειν καὶ μεταβάλλειν καθάπερ εὔριπον, τὸ δὲ θερμὸν ἑκάστου τῶν ζῴων πρὸς τὸ ἄνω πέφυκε φέρεσθαι· ὅταν δ' ἐν τοῖς ἄνω τόποις γένηται, ἀθρόον πάλιν ἀντιστρέφει καὶ καταφέρεται. Ibid. [456b 26—28]: ὅταν δὲ ῥέψῃ κάτω καὶ ἀντιστρέψαν ἀπώσῃ τὸ θερμόν, τότε γίνεται ὁ ὕπνος καὶ τὸ ζῷον καθεύδει. Ibid. [457b 29. 30]: πάντων δ' ἐστὶ τῶν ἐν τῷ σώματι ψυχρότατον ὁ ἐγκέφαλος, τοῖς δὲ μὴ ἔχουσι τὸ ἀνάλογον τούτῳ μόριον. Ibid. [458a 1—5]: οὕτως ἐν τῇ ἀναφορᾷ τοῦ θερμοῦ τῇ πρὸς τὸν ἐγκέφαλον ἡ μὲν περιττωματικὴ ἀναθυμίασις εἰς φλέγμα συνέρχεται (διὸ καὶ οἱ κατάρροι φαίνονται γιγνόμενοι ἐκ τῆς κεφαλῆς), ἡ δὲ τρόφιμος καὶ μὴ νοσώδης καταφέρεται συνισταμένη καὶ καταψύχει τὸ θερμόν. Ibid. [458a 8—12]: τῆς μὲν οὖν καταψύξεως τοῦτ' ἐστὶν αἴτιον, καίπερ τῆς ἀναθυμιάσεως ὑπερβαλλούσης τῇ θερμότητι, ἐγείρεται δ', ὅταν πεφθῇ καὶ κρατήσῃ ἡ συνεωσμένη θερμότης ἐν ὀλίγῳ πολλὴ ἐκ τοῦ περιεστῶτος.

XXIII 34 γε vel τε P 49 K

XXIII [κ]αὶ ἐκ τοῦ [. . . . . . .] πάλιν κ(ατα)φέρεσθαι, [μὴ] δυναμένην διὰ [τὸ ψῦχος διαμέ-][νειν] ἐν τοῖς τόποις, ἐπὶ τὴν καρδίαν

XXIV [. . . . .] καὶ τῆι μίξει τὸ θερμόν. [* ὧ]δε τὸ[ν] ὕπν[ον γί(νεσθαι)], τὴν δὲ ἐγρήγορσιν ἀποτελεῖσθαι ἀν[α]λουμέν[ης] τῆς ὑγρότητος ἁπάσης τῆς περὶ τῶι ἐγκεφ[άλωι], ἔπειτα τοῦ θερμοῦ πάνυ πλεονάζοντ[ος]. κ[αί-]τοι γε ἑαυτὸν ἐπ[αι]νεῖ ὁ Ἀριστοτέλης, ὅτι παρὰ [τοὺς] ἄλλους καὶ τὸν ὕπνον καὶ τὴν ἐγρήγορσιν αἰτι[ο-]λογεῖ ἐκείνων αὐτὸν [μό]νον τὸν ὕπνον αἰ[τιο-]λογούντ(ων), μηκέτι δὲ καὶ τὴν ἐγρήγορσιν. πλὴν περὶ οὗ ὁ λό(γος), τὸ πνεῦμα ψυχρὸν εἰσπνε[ῖται], θερμὸν μ(έν)τοι γε ἐκπνεῖται, ὡς δὴ διὰ θερμῶν χωρίων φερόμενον. * καὶ μὴν ξηρὸν μὲν εἰσ-πνεῖται, ὑγρὸν δὲ ἐκπνεῖται· καὶ δῆλον· * εἰ γ(άρ) τις περὶ τοῦ στόμ[ατ]ος καὶ τοῦ μυκτῆρος τὴν χεῖρα ἢ μέρος τοῦ ἱματίου προθείη, συνόψεται ἔνικμον [τ]οῦτο, [ὡς] δὴ σὺν τῶι πνεύματι καὶ ὑγρότητος συνεκπεμπο-μένης. καὶ περὶ μ(ὲν) τῆς το[ῦ π]νεύματος διοι-κήσεως ταῦτα. * * περὶ δὲ τῆς τροφῆς ἀναγ-καῖον ὑπομιμνήσκειν [μετὰ [ταῦτα]· αὕ]τη προσενε[χθε]ῖσα πρώτης κατεργασίας τυγ[χά]νει ἐν στόματι τεμνομένη μ(ὲν) πρὸς τῶν προσθίων ὀδόν-των — τομεῖς καλοῦνται —, καταλεαινομέ-νη δὲ πρὸς τ(ῶν) μυλῶν, λοιπὸν κ(ατα)πείνεται διὰ στομάχου καὶ φέρεται εἰς κοιλίαν. κἂν ταύτηι δὲ μεταβάλλει τε καὶ ἀποικει[οῦ]ται

XXIV 6] Aristoteles in servatis libris nihil eiusmodi dixit.

XXIII 51 post τοῦ dispiciebat κατα K, fortasse κατάρρου (cf. Arist. l. c. p. 458 a 3) vel ⟨ἐν⟩κεφάλου.

XXIV 1 margo superior plane oblitteratus, conici tamen potest versum deesse   4. 5 K   10 K   14 περι clare P: emenda πρὸ   στόματος K   16 ὡς ἂν δὴ quod ex more scriptoris est, spatium non capit cf. v. 11   18 K

XXIV χολουμένη ἐπὶ τὸ οἰκεῖον. καὶ γὰρ ἀρέσκει ἡμεῖν τὴν τροφὴν ἐν κοιλίαι μεταβάλ[λ]ειν τε ἐπὶ τὸ οἰκεῖον κἂν ταύτηι δευτέρας κ(ατ)⟨ερ-⟩γασίας τυγχάνειν [κ]αὶ οὐχ ὥσπερ ὁ Ἀσ[κ]ληπιάδης ὁ οἰνοδώτης καὶ Ἀλέξανδρος ὁ Φιλαλήθειος διέλαβον, [ὡς] τέμνε[τ]αι μόνον καὶ χολοῦται ἡ τροφὴ ἐν κοιλίᾳ καὶ προδιάθεσίς τις αὐτῆι γί(νεται), ⟦~~συμην~~⟧ οὐ μὴν ἀποικείωσις ἐπὶ τὸ οἰκεῖ⟨ο⟩ν. * * ἡμ⟨ε⟩ῖς γ(ὰρ) λέγομεν καὶ χολοῦσθ(αι) τὴν τροφὴν ἐν κοιλίᾳ καὶ κ(ατ)εργασίας τυγχ(άνειν) [καὶ μεταβολῆς τῆς] ἐπὶ τὸ οἰκεῖον, ὡς [ἂν] δὴ διὰ τούτ(ων) καὶ θερμοτέρων παραφερομένην χωρίων· καὶ δεόντως ὥσπερ κἀπὶ τ(ῶν) ὑδάτ(ων)· ταῦτα γὰρ ῥέοντα διά τινων τόπων μεταλα⟨μ⟩βάνει τῆς ἀπ' ἐκείν(ων) δυνάμεως καὶ τὴν αὐτὴν κείνοις ἴσχει δύναμιν. ἐὰν γὰρ ὦσιν οἱ τόποι ἀσφαλτώδεις, καὶ τὸ ὕδωρ ἀσφαλτῶδες γί(νεται) κ(ατὰ) τὴν δύναμ(ιν), ἐὰν ⟨δὲ⟩ θειώδεις, θειώδη μεταβάλλον-

---

XXIV 30] Plinius Hist. nat. XXIII 38: *Asclepiades utilitatem vini aequari vix deorum potentia posse pronuntiavit.* Idem XXVI 14: *trahebat* [Asclepiades] *praeterea mentis artificio animos iam vinum promittendo aegris dandoque tempestive, iam frigidam aquam. et quoniam causas morborum scrutari prius Herophilus instituerat, vini rationem inlustraverat Cleophantus apud priscos, ipse cognominari se frigida danda praeferens, ut auctor est M. Varro, alia quoque blandimenta exogitabat.* Idem VII 124: *Asclepiadi Prusiensi condita nova secta spretis legatis et pollicitationibus Mithridatis regis reperta ratione qua vinum aegris mederetur, relato e funere homine et conservato* etc. Apuleius Florida 19 p. 32, 14 Krüger: *Asclepiades ille inter praecipuos medicorum, si unum Hippocratem excipias, ceteris princeps primus etiam vino repperit aegris opitulari, sed dando scilicet in tempore.* Caelius Aurelius acut. morb. II 39 (ed. Amman 1722) p. 175: *iubet etiam dari vinum noctibus diurnis atque iugiter, sed id vinum cui salem admiscuerimus et quod appellarit* τεθαλασσωμένον . . . *probat autem vinum dandum post cibum, siquidem solum facile penetret ac pertranseat corpora non aliter quam si sine ulla faece per liquatoria fundatur . . . iubet etiam meracum, non mixtum dari. hac enim ratione, inquit, exustae viae tanquam ex igni conductae sudorem retinendo constringunt.* Sumpta haec et alia ex nobili Asclepiadis libro περὶ οἴνου δόσεως (Sext. Math. VII 91 cf. libri citati a Susemihlio *Alex. Litteratur* II 440 [132]).

XXIV 29. 30 K   31 οινοδωτης P. οἰνοδότης K probabiliter (cf. Eur. Herc. 680), cum neque analogia (ἐπιδώτης) illud satis excuset et frequenter confundat ο et ω P   32 τεμνεσθαι, superscr. τ P   35 K   41 απ vel επ P   45 K

XXIV τα γί(νεται) καὶ τὰ ὕδα(τα). ὡς οὖν ταῦτα μετα-
βάλλει τὰς δυνάμεις παρὰ τὰς τ(ῶν) τόπ(ων)
διαφοράς, ο(ὕτως) [[τ̣ω̣ς̣]] κἀπὶ τῆς τροφῆς· αὕ-
τη γ(ὰρ) [. . . . .] θε̣ρ-
μοτέρων τόπ[ων . . . .] νη[ν̣]
ἐν κοιλίαι καὶ [. . . . .]χ̣υ̣ς̣ τ̣ό̣-
ποι μὲν ἢ τ[. . . .]ε̣τ̣αι
τῶι [. . . .]ρ̣ο̣ι̣ π̣ο̣
λ̣ω̣ν̣ο̣ν̣ κ̣α̣ι̣ [. . . . .] κα[τ]ερ-

XXV [γασί]ας τυγχάνει. * ἀναλαμβ[α]νομένη δὲ
πρὸς τ(ῶν) ἀγγείων τ(ῶν) ἀπὸ τοῦ με[σ]εντερίου μ(ὲν)
ἐκφυόντ(ων), ἐνφυόντων δὲ εἰ[ς] τὴν κοιλίαν
[προστίθεται τῶι ὅλωι σώματ[ι] * καὶ μὴν] [[~~τητησκατεργασιας-~~
~~τυγχανει~~ ////////////////]]
[καὶ ἀ]τμοειδῶς διὰ τῶν ἀρ[αιω]μάτ(ων)
[τῶν] ἐν τῆι κοιλίᾳ ἀναλαμβάνεται ἡ τροφὴ
[κ]α̣ι̣ ἐ̣ξ ὤμων γί(νεται) ἡ π(ρόσ)θεσις τῶι ὅλωι σώματι,
ὡς ἂν δὴ καὶ ἐξ ὤμων γινομένης τῆς
ἀναδόσεως. καὶ ἐν τῶι στόματι δὲ ληφθεί-
σης τῆς τροφῆς παρὰ ταῦτα ἀνάδοσ⟨ις⟩ γί(νεται) ἀπ̣' αὐ-
τῆς, ὡς ἂν δὴ πάλιν ⟨καὶ⟩ ἐξ ὠμῶν γινομέν(ης)
τῆς ἀναδόσεως. ταύτῃ δὴ κα̣[ί] οἱ κ(ατά)ξηρα
ἴσχοντες τὰ στόματα διακ[λυσ]άμενοι
μαλακώτερα φέρονται, ὡς [ἂν δ]ὴ ἀναδόσ(εως)
παραυτὰ γινομένης. * ἀμέ[λει] δὲ τούτῳ
τῶι λό(γῳ) καὶ δυσώδη προσφερόμε[νοι δ]ιωθούμεθ(α)
αὐτὰ κατὰ τὴν παραυτὰ γεν[ομ]ένην
γεῦσιν, καὶ ἐκδ ὧν ἀντιλαμβα[νό]μεθα [καὶ αὐτὰ δῆ(λα)].
ἐξ ὧν φανερόν, ὡς καὶ ἐξ ὠμῶν γί(νεται) ἡ ἀνάδ(οσις).
ἀλλὰ γ(ὰρ) [καὶ] κατὰ τὴν κ(ατά)ποσιν τὴν διὰ στομάχου
τῆς τροφῆς ἀνάδοσις γί(νεται) καὶ π(ρόσ)θεσις τῶι ὅλ[ῳ].
ἐξ ὧν φανερόν, ὡς καὶ πέψις γίνεται καὶ ἐν κοιλίαι,
καὶ ἐξ ὠμῶν δὲ ἡ ἀνάδοσις. [τ]αύτ̣ῃ̣ δὴ

XXV 1—7 K 4 versum deleto pleno versiculo, qui incipit ab τητησ et in lituram desinit, inter versus supplevit P 10 K παραυτὰ H. Schoeneus cf. v. 15. 17. XXXII 43 12 K 17 K 18 εκδ sic clare P, quod explico ἐξ (δ = σ cf. Buresch *Philolog.* LI 97) δῆλα] δη̄ P 23—27 K

XXV καὶ τοῦ Ἀσκληπιάδου διοίσομ[(εν)· οὗ]τος γ(ὰρ) ἐξ ὠμῶν αὐτὸ μόνον λέγει γί[(νεσθαι) τὴ]ν ἀνάδ(οσιν), ἡμ⟨ε⟩ῖς δὲ καὶ ἐξ ὠμῶν μ(ὲν) καὶ ἐκ π[έψε]ως τῆς ἐν κοιλίᾳ γι(νομένης). ※ καὶ τοῦ Ἐρασι[στρά]του δὲ διοίσομ(εν), καθ' ὅσ[ον] κεῖνος [μ(ὲν)] τὸ [μ(ὲν)] αἷ[μα] εἶπεν μόνον (εἶναι) τροφήν, ἡμ⟨ε⟩ῖς δὲ καὶ [τὸ αἷ]μα μ(ὲν) εἶναι τροφήν, μὴ μόνον δέ, ἀλ(λὰ) [καὶ τὴ]ν ὠμὴν δὲ τροφήν. ※ ※ εἶτα τῆς τροφῆς ἡ μ(ὲν) [εὔχ]υμ(ος) καὶ λεπτομερεστέρα αὐτόθεν ἀνα[δίδο]ται τῶι ὅλωι σώματι [διαχωροῦ[σα]], ἡ δὲ στερεὰ καὶ τρα[χεῖα] πέσσ[ε]ται ἐν κοιλίαι· πέψις γάρ (ἐστιν) μεταβολὴ κ[. . . . . .]ις [ἐπὶ τοι . . ι]σαι· διαίρεσις γ(άρ). ※ καὶ οὐ μόνον ἐ[ν κοιλίαι] γί(νεται) ἀνάδοσις, ἀλ(λὰ) [πάσης τῆς τροφῆς ἄ[πεπτόν τι λε]ίπεται καὶ φέρετ(αι) εἰς τὰ ἔντερα καὶ ἐν τούτ(οις) ἀναδ(ίδοται)], καὶ ἐν τοῖς ἐντέροι[ς οὐκ αὐ]τοῖς — ἡ γ(ὰρ) μερισθεῖσα εἰς ταῦτα τροφὴ ἀν[αδίδ]οται ἢ διὰ τ(ῶν) περὶ αὐτὰ ἀραιωμάτ(ων) ἢ διὰ [τ(ῶν) ἀγγ]είων τ(ῶν) ἐμφυόντ(ων) εἰς αὐτά — καὶ οὐ πᾶσ[α, ἐλά]χιστον δ[ὲ] ταύτης ἀπολείπεται, ὃ δὴ π(ρὸς) [τῆς ἐ]ν τ[ῷ] κ[ό]λωι ἰδιότητος ἀποκοπροῦτα[ι. γί(νεται) δὲ] καί τι τοῦ σ[π]έρματος. καὶ γ(ὰρ) τοῦτ[ο] κατασκευά[ζε]ται π[ρὸ]ς τῆς ἰδιότητος τῆς ἐν τοῖς σ[περμ]ατικ(οῖς) πόροις μεταβαλλούσης τὴν φε[ρομέ]ν(ην) ὡς αὐτοὺς τροφήν. ο(ὕτως) δὴ καὶ τὸ [διαλλ]άττον

XXV 25] Galenus q. d. Defin. med. 99 [XIX 373]: οἱ δὲ ἐξ ὠμῶν ἔφασαν τὰς ἀναδόσεις γίγνεσθαι, ὥσπερ καὶ Ἀσκληπιάδης ὁ Βιθυνός. Caelius Aurelianus ac. morb. I 14 [p. 44 Amm.]: *neque ullam digestionem in nobis esse, sed solutionem ciborum in in ventre fieri crudam et per singulas particulas corporis ire, ut per omnes termis visa penetrare videatur quod appellavit* λεπτομερές [cf. Gal. IV 706 sq.], *sed nos intelligimus spiritum.*
XXV 27] Galenus de nat. pot. II 8 [II 112 K., III 182,13 Helmr.]: ἐπὶ δὲ τῆς τοῦ αἵματος γενέσεως οὐδὲν ἀτιμοτέρας οὔσης τῆς ἐν τῇ γαστρὶ χυλώσεως τῶν σιτίων οὔτ' ἀντειπεῖν τινι τῶν πρεσβυτέρων ἠξίωσεν οὔτ' αὐτὸς εἰσηγήσασασθαί τινα ἑτέραν γνώμην ἐτόλμησεν [Erasistratus].

XXV 28 αἷμα K 29. 30 K 31 extr. υλ, suprascr. μ (vel ω) P; fortasse voluit εὐχυλο(τέρα), ο in ω vitiato 32 K 33 τραχεῖα πέσσεται K 34 suppleverim καὶ λείωσις ἐπὶ τὸ ἑψῆσαι cf. [Gal.] def. 99 (XIX 372 K.) 35 K init. σαι vel και P 36a—c πάσης — ἀναδίδοται et inter versus et in margine supplevit P 37 ἀναδίδοται K 38 K 40 in. K 42 K 43 πρὸς K 45 extr. αττον vel αυτον P

XXV πρὸς τῆς ἐν ἑκάστῳ ἰδιότη⟨το⟩ς γί(νεται [. . . . .] [[. .] τροφή (ἐστιν) ἐν τοῖς ἐντέροις ἐξ$^{\omega}$ μεγίσ-| των οὕτως ἐχόντων ἕτερον κατ[. . . .]ν$^{\theta}$ κ[αὶ] ἀπὸ τ(ῶν) ἐντέρων ἀνάληψις γ[ίνετ]αι τῆς τροφῆς. τὸ μ(ὲν) γ(ὰρ) ἐν τῶι λεπτῶι [ἐν]τέρ[ῳ] παρακείμενον λεπτότερόν τ' ἐστ[ὶν] καὶ ὑγρότερον, τὸ δὲ ἐν τῶι ἀπευθυ[σμέ]νωι ξηρότερον καὶ παχύτερον, ὡς ἂν δὴ π[(ρὸς)] τούτ(ων) ἀναδόσεως γεγεν[ημ]ένης. [αὐ]τὰ [δὲ] τὰ ἀποκρινόμενα περισσώ[ματα] τροφὴ

XXVI [ἄ]λλ[ων γί(νεται),] τροφὴ δὲ τ(ῶν) ἀλόγων ζῴων. ⁎ πρὸς τοῦ- το τ[ὰ μ(ὲν) πε]ρισσώματα τροφή (ἐστιν) τ(ῶν) ἀλόγων ζώ[ιων, α]ὕτη δὲ πρὸς αὐτ(ῶν) λαμβανομένη με[ταβάλ]λει εἰς τὴν σάρκα. ⁎ οὕτω καὶ αὐτ(ῶν) [γί(νεται) τροφή], εἰς μ(έν)τοι γε τὰς τ(ῶ)ν ἀλόγων ζώιων σάρκ[ας π]ροσφερόμενα οἷον [ὀρ]νείθων καὶ τ(ῶν) παρα[πλησ]ίων, καὶ πρὸς τούτ(ων) τρεφόμεθά τε καὶ [αὐξαν]όμεθα. [τῶι δὲ] αὐτῶι λόγωι τρο(φή) ἐστιν [αὖ] τ(ῶν) ἀνθρώπων τὰ περισσώματα. ⁎ εἰ δεῖ οὖ[ν τ]ροφὴν (εἶναι) τ(ῶν) ἀνθρώπων τὰ περισσώ(ματα), ἐπειδ[ὴ τὰ] ἄλογα τ(ῶν) ζώιων τρέφεται πρὸς τ(ῶν) περι[σσ]ωμάτ(ων) καὶ αὔξεται, ἡμ⟨ε⟩ῖς δὲ πρὸς τ[(ῶν) ἀλ]όγων ζώιων, τούτωι τῶι λό(γωι) φησ[ὶν κ]αὶ τὸ ξύλον καὶ τὸν λίθον καὶ τὰ ⟨παρα⟩πλ[ήσια] τροφὴν (εἶναι), ἐπειδὴ πάντα εἰς πάν- τα με[ταβάλ]λει. ἄλογον δὲ τοῦτο. ⁎ [[διὰ]] τί γὰρ τὰ θαν(άσιμα) τῶν [. . . .]ν κα[. .]ευου[. .]επι[.] [τροφή], εἴπερ οἱ οἴσυ-

---

XXV 46a. b supplementum margini adpinxit P 46b cum εξ$^{\omega}$ vel ἔξωθεν vel ἐξ ὤμῶν vel ἐξ ὧν, μεγις vel potius αλεγισ (vel αληκ), ἕτερον etiam πορον vel παρον legi possint, incertae sunt coniecturae. fortasse [μία γ(ὰρ) ἡ] τροφή (ἐστιν) ἐν τοῖς ἐντέροις; cetera despero 48 αναληψισ, η ex α correcto P 49—51 K 53 K

XXVI 1 ἄλλων] ω litterae dimidium servavit P 2. 3 K 4 αὐτῶν] *ipsorum hominum* P. stilus hau scio librarii an scriptoris culpa maxime hoc loco laborat 6. 7 K 8 αὐξανόμεθα K 9 ad τὰ περισσώματα collatis v. 17. 18 (v. not.) suppleverim τῶν ἀλόγων ζῴων 12. 13 K 16 extr. θαν̄ P 17 desperandus locus κα vel μα, ευου[σ]ι vel ερου[σ]ι P 17. 18 οἴσυπος] cf. Aretaeus p. 194,10 Sp. Gal. XII 309 ὅ γε μὴν ἐπιτρεφόμενος τοῖς τῶν

XXVI πος [. .]ουν[. . .]οι τὸ κώνειον τρέφουσι τοὺς ἀνθρώπους; ⁘ πλὴν ταῦτα μ(ὲν) ο(ὕτως). ἐκεῖνο δὲ ῥητέον, ὅτι γί(νεται) καὶ ἐν κοιλίᾳ πέψις καὶ εὐ[χύμω]ν δὲ ἀνά[δοσ]ις, [⁘] ἡ πλε[ί]ω(ν) δὲ ἀνάδοσις ἀπό τε κοιλίας καὶ στομάχου καὶ ἀπὸ τῶν ἐντέρων καὶ τοῦ κόλου — καὶ γί(νεται) ἡ ἀν[ά]δ[ο]σ[ις] διὰ τ(ῶν) ἀραιωμάτ(ων) τ(ῶν) ἀμφ' αὐτά — καὶ ἀπὸ [τοῦ] στόματος. καὶ οὐ μόνον ἀπὸ τούτ(ων) ἀνάδοσις γί(νεται) καὶ πρόσθεσις, ἀλ(λὰ) καὶ ἀπὸ τ(ῶν) ἐν τοῖς ἀγ[γ]ε[ί]οις παρακειμέν(ων) καὶ ἀπὸ τῆς ἐν ταῖς φλεψὶν παρακειμένης τροφῆς· καὶ ἀπὸ τῆς ἐν ταῖς ἀρτηρίαις ἀνάδο[σ⟨ις⟩] γί(νεται) καὶ πρόσθεσις τῷ ὅλῳ σώματι καὶ ἀτμοειδῶς. ⁘ ὁ μ(έν)τοι γε Ἐρασίστρατος οὐκ οἴεται ἀνάδοσιν γί(νεσθαι) ἀπὸ τ(ῶν) ἀρτηριῶ(ν). μὴ γ(ὰρ) εἶναι κ(ατὰ) φύσιν ἐν αὐταῖς αἷμα — τοῦτό (ἐστιν) τροφή —, ἀλ(λὰ) πνεῦμα, οὐχ ὑγιῶς ἱστάμενο(ς) [λό(γον)], ὡς ἀποδείξομ(εν). εἷς μ(ὲν) [γ(άρ)]· εἴπερ μὴ παρέκειτο ἐν [ἀ]ρτηρίαις κατὰ φύσιν αἷμα, ἐχρῆν διαι[ρ]ουμέν[(ων)] ἀρτηριῶν αἷμα μὴ ἀποκρίνε(σθαι)·

XXVI 31] Galenus de usu part. VII 17 [III 492 K.]: ὅσοι ταῖς ἀρτηρίαις οὐδ' ὅλως αἵματος μεταδιδόασιν ὥσπερ καὶ ὁ Ἐρασίστρατος. Idem de nat. pot. II 6 [II 104 K., III 177, 4 Helm.]: εἰ δὲ τὴν διὰ τῶν φλεβῶν φορὰν τῆς τροφῆς ἀνάδοσιν καλεῖ [Erasistratus], τὴν δ' εἰς ἕκαστον τῶν ἁπλῶν καὶ ἀοράτων ἐκείνων νεύρων καὶ ἀρτηριῶν μετάληψιν οὐκ ἀνάδοσιν ἀλλὰ διάδοσιν, ὥς τινες ὀνομάζειν ἠξίωσαν. Ibid. [p. 95 K. 170, 12 H.]: εἰ δ' ἐπισκοποῖτό τις ἐπιμελῶς, οὐδ' ὁ περὶ θρέψεως αὐτοῦ λόγος, ὃν ἐν τῷ δευτέρῳ τῶν καθόλου λόγων διεξέρχεται [Erasistratus], τὰς αὐτὰς ἀπορίας ἐκφεύγει. τῇ γὰρ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συγχωρηθέντος ἑνὸς λήμματος, ὡς πρόσθεν ἐδείκνυμεν, ἐπέραινέ τι περὶ φλεβῶν μόνων καὶ τοῦ κατ' αὐτὰς αἵματος. ἐκρέοντος γάρ τινος κατὰ τὰ στόματ' αὐτῶν καὶ διαφορουμένου καὶ μήθ' ἀθρόου τόπου κενοῦ δυναμένου γενέσθαι μήτε τῶν φλεβῶν συμπεσεῖν . . . ἀναγκαῖον ἦν ἕπεσθαι τὸ συνεχὲς ἀναπληροῦν τοῦ κενουμένου τὴν βάσιν. [cf. Sitzungsber. d. Berl. Akad. 1893, 105[3].]

προβάτων ἐρίοις ῥύπος, ἐξ οὗ τὸν καλούμενον οἴσυπον ποιοῦσιν, πεπτικῆς ἐστι δυνάμεως παραπλησίως τῷ βουτύρῳ, βραχύ τι δὲ καὶ διαφορητικὸν ἔχει. ergo sensus esse videtur: si omnia mutentur alia ex aliis, nos omnia eodem modo nutriant τὸ πεπτικὸν οἴσυπος ὁμοίως καὶ τὸ θανάσιμον κώνειον 21 εὐχύμων] cf. XXV 31 cum nota ηπλε. (ω supra ε) vel ηπλα (ν supra α) P 24 αναδωσισ scripsisse videtur P 25 K 27 K 29 ταῖς] τ ex α corr. P 30 K 35 εἷς] scil. λόγος cf. v. 39 36 K

XXVI ἀποκρίνεται [μ](έν)τοι, [ὥστε γί(νεται)] τροφὴ ἐν ταύταις. πρ[ὸς ὃν λόγον] ἀπολογοῦνται [οἱ] Ἐρασιστράτειοι [λέγοντ]ες, διότι διαιρέσεως γεν(ομένης) κατὰ [τὰς ἀρτη]ρίας κενοῦται τὸ αἷμα κἀπορ(εῖ) τῶν [ἐκεῖ φλεβ]ῶν, οὐ μὴν ἐκ τ(ῶν) ἀρτηριῶν. διαφ[έρει δὲ τ]ὸ διά τινος κενοῦσθαι ἢ τὸ ἐκ τού[του καὶ ἐ]πὶ τ(ῶν) ἐκτός. καὶ γ(ὰρ) διὰ τ(ῶν) κρου[νῶν ῥεῖν φ(αμεν)] ὕδωρ, οὐ μὴν ἐκ τ(ῶν) ⟦ε⟧ κρουν(ῶν)· οὕτ[ω δὲ καὶ τ(ῶν)] ἀρτηριῶν διαιρεθεισῶν δι' αὐτ[(ῶν) μ(ὲν) κενο]ῦται τὸ αἷμα, οὐ μὴν ἐξ αὐτῶν· [οὐ γ(ὰρ) (εἶναι) λέγο]υσιν ἐν ταύταις αἷμα. [τότε [γ(ὰρ) σ]υν[ε]στομῶσθαί [τε] τὰς φλέβας εἰς [τὰς] ἀρτηρία(ς) καὶ τὸ ἐνὸν [οὔ]τω⟦ι⟧ μὴ δύνασθαι κενὸν ἄθρουν ἀπολ⟨ε⟩ίπεσθαι [τ]όπον μετὰ τὴν π[νεύ]ματος [κέ]νω(σιν). παρεμπείπτειν γὰρ τὸ αἷ[μ]α ἐκ τ(ῶν) φλεβῶν [εἰς] τὰ[ς] ἀρ[τ]ηρία(ς)· διὰ μ[(έν)τοι τ(ῶν)] ἀρτη[ρι]ῶν [ἀ]πορεῖν ἐκ τούτ[(ων) ὡς δι]ὰ κ[αλ]άμ(ων) ἔ[ξ]ω]. νωθρ[ὸν δέ] (ἐστιν) λείαν τοῦτο * ἃ μὲν [γ(ὰρ)] τὰ ἡμέ-

XXVI 48] Galenus de ven. sec. contra Erasistr. 3 [XI 152 K.]: ἄριστα οὖν μοι δοκῶ διαθέσθαι τὸν λόγον, εἰ τἆλλα παραλιπὼν ἀπ' αὐτῶν ἀρξαίμην τῶν Ἐρασιστράτῳ δοκούντων ... ἀρέσκει δ' αὐτῷ πνεύματος μὲν ἀγγεῖον εἶναι τὴν ἀρτηρίαν, αἵματος δὲ τὴν φλέβα· σχιζόμενα δ' ἀεὶ τὰ μείζω τῶν ἀγγείων εἰς ἐλάττονα μὲν τὸ μέγεθος, ἀριθμὸν δὲ πλείω καὶ πάντη τοῦ σώματος ἐνεχθέντα (μηδένα γὰρ εἶναι τόπον, ἔνθα μὴ πέρας ἀγγείου κείμενον ὑπάρχει) εἰς οὕτω σμικρὰ πέρατα τελευτᾶν, ὥστε τῇ μύσει τῶν ἐσχάτων στομάτων κρατούμενον ἐντὸς αὐτῶν ἴσχεσθαι τὸ αἷμα· καὶ διὰ τοῦτο καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας, ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐπεμβαῖνον ἀγγείοις. μέχρι μὲν δὴ τοῦδε νόμῳ φύσεως διοικεῖσθαι τὸ ζῷον· ἐπεὶ δέ τις αἰτία βίαιος ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τὸ αἷμα μεταχθῆναι, αὐτὸ νοσεῖν ἀναγκαῖον ἤδη. Idem de sanguine in art. 2 [IV 709]: καὶ διὰ τοῦτ' ἐξ ἀνάγκης ἕπεται τὸ διὰ τῶν συναναστομώσεων, ὡς αὐτός φησιν, αἷμα τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, καὶ τοῦθ' ὥσπερ προδεδεμένον τῷ κατὰ τὰ πέρατα τῶν ὑστάτων ἀρτηριῶν πνεύματι, πρῶτον μὲν ἅπαντος τοῦ ἄλλου αἵματος, ὕστατον δὲ παντὸς τοῦ κατὰ τὰς ἀρτηρίας πνεύματος κενωθήσεται.

XXVI 48f (cf. 51)] Galenus de nat. pot. II 1 [II 75 K. III 155,25 Helmr., ubi contra Asclepiadem et Erasistratum pugnat]: ἐπὶ μὲν γὰρ τῶν καλάμων καὶ τῶν αὐλίσκων τῶν εἰς τὸ ὕδωρ καθιεμένων ἀληθὲς εἰπεῖν, ὅτι κενουμένου τοῦ περιεχομένου κατὰ τὴν εὐρυχωρίαν αὐτῶν ἀέρος ἢ κενὸς ἀθρόος [codd. ut vid. ἀθρόως] ἔσται τόπος ἢ ἀκολουθήσει τὸ συνεχές, ἐπὶ δὲ τῶν φλεβῶν οὐκέτ' ἐγχωρεῖ δυναμένου δὴ τοῦ χιτῶνος αὐτῶν εἰς ἑαυτὸν συνιζάνειν καὶ διὰ τοῦτο καταπίπτειν εἰς τὴν ἐντὸς εὐρυχωρίαν. οὕτω μὲν δὴ ψευδὴς ἡ περὶ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας οὐκ ἀπόδειξις μὰ Δί' εἴποιμ' ἄν, ἀλλ' ὑπόθεσις Ἐρασιστράτειος.

XXVI 40. 41 K 41 καπορ̄ P cf. v. 48 f. XXII 29 48 supplementum primum (usque ad κενὸν c) ad dextram paginae, tum infra adscripsit litteris minutissimis P 48 b συνανεστομῶσθαι usui aptius scripsisset

XXVI

τερα σώμα[τα] τοῖς ἀσυμπτώτοις ἔοικε [[σ]ώμα[σιν]] ὡς σίφωσί τε καὶ καλάμοις· ὡς γὰρ ο[ὗ]τοι κ(ατα)χθέντες [ἢ τρυπηθέντ[ε]ς] οὐκ ἀποκρίνου-

XXVII

σι τὸ ἐν αὐ[τ]οῖς περιεχόμενον πνεῦμα οὐδὲ κενοὶ γί(νονται) τούτου, ἀλλ' ἐμμένον ἔχουσιν ἐν αὑτοῖς, ο(ὕτως) καὶ ἐπὶ τ(ῶν) ἀρτηριῶν διαιρεθεισ(ῶν) οὐ πάντως κενωθήσεται τὰ [ἐντὸς] τοῦ πνεύμ(ατος), ἀλλ' ἐμμενεῖ ἐν ταῖς ἀρτηρίαις [καὶ] μετὰ τὴν διαίρεσιν, ὥσπερ κἀπὶ τ(ῶν) ἐκτός· * * β̄· εἴπερ ὁ κενὸ(ς) ἀθροῦς αἴ(τιος) γί(νεται) τῆς παρεμπτώσεως τοῦ αἵματος ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας, [ἀν]ά[γκη τὸν] αὐτὸν αἴτιον γί(νεσθαι) τῆς κ(ατ)[ο]χῆς τοῦ πνεύματος, [οὕτως τὸ αἴτιον [. . . . .]ω (θ)] ἀλ(λὰ) [γὰρ] οὐ γί(νεται)· [ὥστε ⟨τὸ⟩ αἴτιον π[αρ]ορᾶν δεῖ. * * ναί, φασὶν οἱ Ἐρασιστράτειοι, οὐκ ἔοικε] τὰ ἡμέτερα σώματα τοῖς ἀσυμπ[τώ]τοις σώμασιν, ἃ [κυρίως] κατωνόμασται, [ἀλ(λὰ)] ἀσκῶι ἐνπεπληρωμένωι ὑγροῦ καὶ ἐμπεπνευματωμένωι ωσο[.]νον, ὃς τρωθεὶς ἀποκρεί[νει] δι' αὑτοῦ τό τε πνεῦμα καὶ ὑγρόν, ἅ[μα δὲ καὶ] ἐξ [ἑ]αυτοῦ· οὕτως καὶ αἱ ἀρτηρίαι διαιρε[θε]ῖσαι αἷμα, οὐκ ἐξ αὑτ[(ῶν)] δέ· * πρὸς δὲ καὶ τοῦτ' εἴποιμ(εν), διότι οὐ [το]ῖς οὖσ[ι] συμπτώτοις ἔοικεν τὰ ἡμέτερ[α] σώματα, [ὥ]ς [φ(ασιν) πταίοντ]ες, ἀλλὰ τοῖς ὑ(πάρχουσιν) ἀσυμπτώτοις[, ὡς ταῦ]τα δῆλα ἐπὶ τ(ῶν) [τ]ελευτ(ῶν)· κατὰ γ(ὰρ) τὰ ὑμέ[νια]

XXVI 51 καλάμοις] prima littera ut cursiva et mutilata difficilis lectu, cetera vestigiis satis apta.

XXVII 1 K 2 vel εμμονον P 4 ἐντὸς incertius 9a κατοχῆς] κ^οχησ (si oculis fides) P cf. Galen. VI 172 καὶ ἡ τοῦ πνεύματος κατοχὴ καὶ κατάληψις οὐ σμικρὸν μέρος ἀποθεραπείας ἐστίν 9b supplementum marginis perdifficile lectu; sensus: *argumentum se ipsum tollat*; fortasse αὐτῷ ἂν ἐναντιωθ(είη) 10 ωστε vel ωστο P παρορᾶν δεῖ] ποιορινδει (ult. litt. etiam σ) ut videtur P

14 non expedivi. simile experimentum commemorat Pseudohipp. de natura pueri 25 [VII 522 L.] 16 K 18 οὐσι recte legisse videtur K; certe nec εὐσυμπτώτοις nec φύσει συμπτώτοις exhibet P 19 τα aut το P ἡμέτερα K 21 τελευτῶν K; fortasse τετελευτ⟨ηκό⟩των, cf. XXXI 33

XXVII εὑρίσκοντα[ι] αἱ ἀρτηρίαι ἀσύμπτωτ[οι]. [ἀλλ' ο[ὕ]τοι σύμπτω[τοι]].
[εἰ τοι]γ(άρ)τοι ταῦτα τοῦτον ἔχει τὸν τρ[όπον],
μοχθηροὶ φαίνονται καὶ κ(ατὰ) ταῦτα οἱ [Ἐρασ]ι[στρ(άτειοι)].
εἶτα φέρε δὲ καὶ οἰκει[οῦν]τες μὴ τοῖς
ἀσυμπτώτοις, [ἀλ(λὰ) τοῖς] εὐσυμπτώτοις
ὡς ἀσκοῖς, ἵνα [κα]ὶ αὐτοῖς συναγο[ρε]ύ[ω-]
μεν, λέγωμεν, ὡς ἐπὶ τοῦ ἀσκ[[οῦ το]ῦ] ἐνόν⟨τος⟩ κενω(θέντος)
ἐπισ[ύμ]πτωσις γί(νεται), [καὶ οὐχὶ κενὸς ἄθροῦς τόπο[ς]]. ἀλ(λὰ)
ἐχρῆν καὶ ἐπὶ τῆς [δι]αιρέ-
σεως τ(ῶν) ἀρτηριῶν μετὰ τὴν κέ[ν]ωσιν
τοῦ πνεύματος ἐπισυμπείπτειν ταύτας.
ἐπισυμπειπτουσῶν [δὲ] αὐτ(ῶν) οὐκ ἂν ἐγίνετο
κενὸς ἄθροῦς [ο]ὐ[δὲ παρέμπ]τωσις [α]ἵματος
οὐδὲ ἀπόκρισις τού[του οὐ]δέ γε κένωσ[ις]·
ὥστε καὶ κατὰ ταῦτα αγαν[. . .]ις. * * φέρε
δὲ μετὰ τὴν [δι]αίρεσι[ν ε]ὐθὺς ἀποκρινο(μένου)
τοῦ πνεύμ[ατος εἴπω(μεν) εἰσ]κρίνεσθαι
τὸ αἷμα τῶι μ[ὴ τόπον κε]νὸν ἄθροῦν
ἀπολ⟨ε⟩ιφθῆναι[. ἀλ(λὰ) μὴν οὐκ ἐ]χρῆν αἷμα
κενοῦσθαι τούτ[ωι τῶι λό(γῳ)], ἀλ(λὰ) τὸ πν[εῦ-]
μα τὸ ἐν τῆ[ι ἡμετέραι] παρακείμενον
συγκρίσει [λε[ίως]] συνα[φίεσθαι] τῶι πνεύματι
τῶι ἀποκριθέντι. οὐκ ἀποκρίνεται δέ
γε τοῦτο καὶ συνπλη[ρ]οῖ τὸν τοῦ κεν[ωθέντος]
πνεύματος τόπον [. . . . . [. . . . .]]
εἶτα κατὰ τοὺς Ἐρασιστρατείους τούσ[δε ὅ-]
[τε] κενοῦ[ται] μενον καὶ λ[. . . . .] αἷμ[α . . . . .]
Ἐρασιστράτειοι [. .]ει [. . . . .]αι διαδ[ο]ῦν[αι]
τῶν ἐπι[. . . . .] τοῦ
πνεύματος [. . .] πολ[. . . . .] του[. . .]
[[παραθητας]] τοτ[. . . . .]σδε τω[. .]

XXVII 22 suppleta aegre dignoscuntur 24 extr. οι . . . . ι P; non οὗτοι 25 δὲ non δὴ P cf. 36 28 lectio incerta 30 K 34 K 35 αγαν . . ις (ult. litt. etiam α) P. sensus: ἄγαν νωθ⟨ε⟩ῖς 36 εὐθύς] . τους P 37 πνεύματος K 38 μὴ] prioris litterae dimidium servat P 45 nec versus exitus nec nota marginis legi possunt 47 τε vel το ante versum supplevit P super κενουμενον supplevit ται, non deletis μενον P

XXVII πρώ[τη] ⟦θη⟧ κενώσεται [. . . . .] κα[τα]τοῦ μεταιονᾶι οσ[. . . . . κ]ε-

XXVIII νωθῆναι τὸ ἐν ταῖς ἀρτηρίαις τῶι πολὺ κεχωρίσθαι ταύτας τῆς καρδίας. καὶ πάλι πρώτη πληρωθήσεται αἵματος [πρὸς [τ(ῶν) φλ(εβῶν)]], οὕτως τε πολὺς χρόνος γενήσεται, ὥστε μετὰ τὴν κένωσιν τοῦ πνεύματος ῥυῆναι [τού]τ(ων) τὸ αἷμα. ∗ ∗ καὶ ἐπὶ πᾶσιν, εἴπερ ἡ καρδία πρώτη κενουμένη τοῦ πνεύμ(ατος) πρώτη καὶ πληροῦται κ(ατὰ) τὴν παρέμπτωσιν αἵματος, [λέγω] ἀναιρεθήσεται τὸ ζῶιον τῶι ἐν ἀνοικείωι γί(νεσθαι) τόπωι τὸ αἷμα [καὶ δεσπόζοντι τοῦ ζώιου μ[έρει]]. οὐκ ἔχει δὲ ταῦτα τοῦτον τὸν τρόπον. [πολλῶν γ(ὰρ) διαιρουμέν(ων) ἀρτηριῶν οὐδ[ὲν ἀπέθανεν]]· οὐκ ἄρα ὑγιής (ἐστιν) ἡ τ[(ῶν)]δε τ(ῶν) Ἐρασιστρατείων κεκομψ[ευ]μένη δόξα. ∗ ∗ [τούτ](ων) οὕτως ἐκκειμέν(ων), ὅτι μ[(ὲν)] [καὶ] δ[ιὰ τὰς] ⟦ιστ⟧ ἀρτηρίας (ἐστὶν)] ἀνάδοσις, ὑπεμνήσαμ(εν)· ὅτι δὲ καὶ κ(ατὰ) [τὰς] ⟦αρ⟧ [ἀρτηρίας] ⟦τηριων⟧ προαπεδείξαμ(εν). καὶ πλείων γε ἡ [ἐν ταῖς] ⟦αποτ(ων)⟧ φλε[ψὶ] ⟦βων⟧ ἀνάδοσις ἤπερ [ἐν ταῖς] ⟦αποτ(ων)⟧ ἀρτηρί[αις] ⟦ων⟧, ὡς ἀποδ⟨ε⟩ίξομ(εν). ᾱ μ(ὲν) γ(ὰρ) ἀξιολογώτεραί εἰσιν αἱ φλέβες τ(ῶν) ἀρτηριῶν· πιθανὸν δὲ ἐν τῶι ἀξ⟨ι⟩ολογωτέρωι πλείονα γί(νεσθαι) τὴν ἀνάδοσι[ν] παρὰ τὰ ἐλ[άχισ]τα τ[αῦτα]. ἀξιολογώτεραι δέ (εἰσιν) [τ(ῶν) ἀ]ρτηριῶν αἱ φλέβ(ες). ἐν αἷς [εἰκότως πλ]είων γενήσεται ἡ ἀνάδο[σις]. β̄· καὶ [εἰ ἴσαι] (εἰσὶν) κ(ατὰ) τὸ μέγεθος αἱ ἀρτηρίαι ταῖς φλε[ψ]ίν — φέρε γ(ὰρ) ο(ὕτως) ἔχειν — εἰ δ' οὖν ἴσ[αι],

---

XXVII 52 πρωθη (τη superscr.) P 53 an ἕνε]κα τάτοῦ? μεταιονᾶι (αἰονᾶν ex Hippocrate medicis notum) clare P

XXVIII 6 τούτων] scil. τῶν φλεβῶν 9 λεγω exhibere videtur P. conicio λόγῳ, opp. ἔργῳ δὲ οὐκ ἀναιρεῖται cf. v. 10 11 ητδετ́ P 12 K κεκομψομενη P 15 προαπεδείξαμεν] XXVI 29 16 scripserat primo ἡ ἀπὸ τῶν φλεβῶν ἀνάδοσις ἤπερ ἀπὸ τῶν ἀρτηριῶν P 20 ἐλάχιστα ταῦτα K, vestigiis, vix sensui apta 21 K 24 εἰ δ' οὖν] ειλουν P, i. e. εἰ δ' οὖν vel εἰ γοῦν ἴσαι incertius

XXVIII αἱ μ(ὲν) ἀρτηρίαι μ(ε)ίζονες οὖσαι κ(ατὰ) τὴν περιοχὴν αὐτὸ μόνον φανήσονται τῶι τε τετραχίτωνες (εἶναι) καὶ συνεστ⟨άν⟩αι ἐξ εὐρώστων τ(ῶν) χιτώνων. ⁘ αἱ δὲ φλέβες ἀσθενέστεραι ὑ(πάρχουσαι) κατὰ τὴν περιοχὴν τῶι μονοχίτωνες εἶναι ὅμως εὐρυκοιλιώτεραί εἰσιν τ(ῶν) ἀρτηριῶν, εὐρυκοιλιώτεραι δὲ οὖσ[αι] πλείονα ἕξουσιν καὶ τὴν ἀνάδοσιν τὴν εἰς αὐτὰς γι(νομένην). ⁘ ⁘ τὸ δὲ γ̄· αἱ μ(ὲν) ἀρτηρίαι πλεῖον ἔχουσι τὸ παρακείμενον [ἐν αὐτ(αῖς)] πνεῦμα, [ἐλάχιστον δὲ] τὸ αἷμα, ⁘ αἱ δὲ φλέβες πλεῖον [ἔχουσι] τὸ αἷμα, ἐλάχιστον δὲ τὸ πνεῦμ(α). ἀρέ[σκει] γ(ὰρ) ἡμῖν καὶ ἐν ἀρτηρίᾳ καὶ [ἐν] φλεβὶ κατὰ φύσιν παρακεῖσθαι καὶ αἷμα καὶ πν[εῦμα], [οὕτ]ως δὲ ταῦτα παρακεῖσθαι, κα[θὼς] πρόκειται. ⁘ πλὴν ἐπεὶ ἐν μ(ὲν) ἀρτηρίᾳ ⟦πλειον⟧ πλεῖον τὸ πνεῦμα, ἐν δὲ φλεβὶ [ἐναντί]ον τοῦτο, πιθανώτερον πλείονα γί(νεσθαι) ἐν φλεβὶ τὴν ἀνάδοσιν ἤπερ ἐν ἀρτ(ηρίᾳ). καὶ διὰ μ(ὲν) τούτ(ων) συνακτέον, ὡς πλείων [γί(νεται)] ἡ ἀνάδοσις ἐκ τ(ῶν) φλεβῶ(ν) ἤπερ ἐξ ἀρτηριῶ(ν). ὁ μέντοι γε Ἡρόφιλος ἐναντίως διείληφεν· οἴεται γὰρ πλείονα μ(ὲν) γί(νεσθαι) ἀνάδοσιν ἐν ταῖς ἀρτηρίαις, ⁘ ἧσσ[ον]α δὲ ἐν ταῖς φλεψὶ διὰ δύο ταῦτ[α]· ᾱ μ(έν), ἐπειδήπερ ἀμφότεραι μ(ὲν) ὀρεκτικ[ῶ]ς ἔχουσι τῆς τροφῆς, ἥ τε φλὲψ κ[α]ὶ ἡ ἀρτη-

XXIX ρία, ἐπεὶ δὲ κατ' ἴσον ὀρέγονται τῆς τροφῆς, κατ' ἴσον καὶ ἡ ἀνάδοσις ε[ἰς] ⟦ξ⟧ αὐτ[ὰς] ⟦(ων)⟧ γενήσεται. δεύτερον δὲ αἱ μ(ὲν) ἀρτηρίαι, φ(ησίν), συστέλ⟨λ⟩ον-

XXIX 3] Galenus de diff. puls. IV [VIII 702 K.]: ἔτι δὲ μείζων ἄλλη διαφορὰ τοῖς ἰατροῖς ἐκ παλαιοῦ περὶ τῶν ἀρτηριῶν ἐγένετο τινῶν μὲν ἡγουμένων αὐτὰς ἐξ ἑαυτῶν σφύζειν . . ., ἐνίων

XXVIII 28 τῶν deleverim 35 K 40 vestigia secutus K 42 ἐναντίον] umbram servat P 45 γίνεται sensui et vestigiis aptius quam ἐστὶν 48—51 K
XXIX 2 ex ἐξ αὐτῶν corr. εἰς αὐτὰς P

XXIX ταί τε καὶ διαστέλλονται τόν τε σφυγμὸν ἀποδιδόασιν. αἱ δὲ φλέβες οὔτε συστέλ[λ]ονται οὔτε διαστέλλονται οὐδὲ σφυγμωδῶς κεινοῦνται. * ἐπεὶ τοιγ(άρ)τοι αἱ μὲν ἀρτηρί(αι) σφυγμωδῶς κεινοῦνται, αἱ δὲ φλέβες οὐ κεινοῦνται [σ]φυγμωδῶς, ταύτῃ ἐπὶ τ(ῶν) ἀρτηριῶν [διὰ [τ]ὴν ὦσ[ιν ἐ]κ[εί]ν[η]ν] εὔ[λο]γον πλείονα γί(νεσθαι) τὴν ἀνάδοσιν ἤπερ ἐπὶ τ(ῶν) φλεβῶν διὰ τὴν εἰρημένην α(ἰτίαν). * * οὐκ ὀρθ[ῶ]ς δὲ ὁ προκείμενος ἀνὴρ ἐποίησεν. οὐ γ(ὰρ) ἐνόησεν, ὡς εὐρυκοιλιώτεραί (εἰσιν) αἱ φλέβες παρὰ τὰς ἀρτηρίας, εὐρυκοιλιώτεραι δὲ οὖσαι πλείονα δεόντως ἕξουσι καὶ τὴν ἐν αὐταῖ[ς] γινομένην ἀνάδοσιν. καὶ π(ρὸς) μ(ὲν) τὸ ᾱ τούτου κεφάλαιον τοῦτο καθήξει λέγειν, πρὸς δὲ τὸ δεύτερον ἐροῦμ(εν), διότι ὥσπερ αἱ ἀρτηρίαι σφυγμωδῶς κεινοῦνται συστε[λ]⟨λ⟩όμεναι καὶ διαστελλόμεναι, ο(ὕτως) δὲ κεινούμεναι ἐκθλείψουσιν εἰς τὸ ἐκτὸς τὴν τρο[φήν]. εἰ δὲ ταῦτα ο(ὕτως) ἔχει, ὁμολογουμένως ἐ[πι]συνάγεται, ὅτι πλείων ἀνάδοσις γί(νεται) τρο[φῆ]ς εἰς τὰς φλέβας [ἤπερ] εἰς τὰς ἀρτηρίας. * ἀλ(λὰ) [⟨ὁμο⟩λογου]μένως κ[ἀ]κεῖνο δεῖ ὑπονοῆσαι, ὡς [τροφὴ] παράκειται ἐν ταῖς ἀραιότησι τ(ῶν) φλεβῶν καὶ [τ(ῶν)] ἀρτηριῶν. καὶ κοινῶς ἐν πάσῃ ἀραιότητι τετμημένῃ κατὰ τὸ ἡμέτερον σῶμα [πα]ράκειται τροφή, καὶ ἀνάδοσις γί(νεται) εἰς αὐτὴν

δὲ σῴζειν μεν αὐτὰς [αὐτοῦ vulg., corr. Susemihl] τοῦ χιτῶνος αὐτῶν διαστελλομένου τε καὶ συστελλομένου, καθάπερ ἡ καρδία, τὴν δύναμιν δ' οὐκ ἐχουσῶν σύμφυτον ἢ τοῦτο δρῶσιν, ἀλλὰ παρὰ καρδίας [καρδίαν vulg., corr. H. Schöne] λαμβανουσῶν· ἧς γνώμης ἔχεται καὶ Ἡρόφιλος. Ibid. [VIII 717]: φαίνεται γὰρ ὁ ἀνὴρ οὗτος [Herophilus] ἅπασαν ἀρτηριῶν κίνησιν . . . ὀνομάζων σφυγμόν.

XXIX 9 K 16 εν ex εισ P 23 K 25 K 26 λος . . μενωσ P; ⟨ὁμο⟩λογουμένως supplevi coll. v. 23. 31 κἀκεῖνο K 28 K 29 τετμημένῃ] media difficilia lectu, sed certa cf. Plato Tim. p. 70 D, Galen. de nat. pot. III 15 [II 210 K. III 254,1 Helmr.] 30 K

XXIX ὁ̣μ̣ο̣[λογ]ο̣υ̣[μ(έν)]ως τ̣ῶ̣ι̣ ὅ̣λ̣ω̣ι̣ σώματι, ὥστε καὶ
κ̣(α̣τ̣ὰ̣) τὰς κοιλότητας τ(ῶ̣ν̣) ἀρτηριῶν καὶ τ(ῶν)
φ̣λ̣εβῶν π̣α̣ρ̣ά̣κειται τροφὴ καὶ ἀνάδοσις
[γί(νεται)] αὐτῆς εἰς αὐτάς. ⁂ καὶ μὴν κἀ[κε]ῖνο
δ̣ε̣ῖ̣ ὑπολαβ[εῖ]ν, ὡς ἡ τροφὴ π̣[ᾶσ]α οὐ προσ-
[τίθε]ται ἀναδιδομένη τῶι ὅλωι σώματι,
[ἀ]λ̣λ̣ὰ̣ τὸ μ(ὲν) νόστιμον τὸ ἀπ' αὐτῆς ἀνα-
[δ]ί̣δ̣οται καὶ π(ροσ)τίθεται τῶι σώματι, τὸ
δ̣ὲ̣ ἀλλότ[ρ]ιον καὶ σκυβα[λ]ῶδ[ε]ς χωριζό-
[μ]ενον εἰς ἔντερα διὰ τ(ῶν) ἀποπάτ(ων) ἀπο-
[κ]ρίν[εται. εἰ] γ̣ά̣ρ̣ τ̣ο̣ι̣ πᾶσα ἡ̣ λαμβανομέν(η) [τροφ(ὴ)]
ἀναλαμβαν[ομέν]η π(ροσ)ε[τ]ίθετο, εἶτα
[μη]δεμ[ία] ἀπ' αὐτῆς ἐ̣γ̣ί̣νετο ἀπόκρι-
[σις, κ]ἂν ἡ[μεῖ]ς ὑ[περ]φυεῖς κ[ατά] τε τὰ μεγέθ(η)
[καὶ] τὰς [ῥώ]μας ἐγινόμεθα, ἐπ⟨ε⟩ὶ
[ἀεὶ ἡμῖν] π(ροσ)τίθεται· ἀλλ' [ἐπ⟨ε⟩ί]περ ἡ νόσ(τιμος)
[ἀεὶ τρ]ο̣φὴ [τῆς] ἀλλοτρίας ἀποκρίνεται
[. . . . .], μέτριοι κατὰ σώματά
[ἐσμεν] οὕτ[ω]. ⁎ τῶν δὲ ὑποδεδειγμέν(ων)
[πρῶτόν] (ἐστιν) τ̣[ὸ περὶ] τοῦ διὰ τῆς κύστεως
[ἀποκρ]ινο[μ(έν)ου, πε]ρ̣ὶ̣ ο̣ὗ̣ [ἰ]δία στάσις γεγένηται
[καὶ π]αρὰ τοῖς [ἀρ]χαίοις τ(ῶν) φιλοσόφων.
[οἱ] μ(ὲν) γὰρ εἶπ̣[ον] ἐν τῶι προσφερομέν[ω]

XXX ὑγρῶι ἐνυπάρχειν φ[ύσιν διπλῆν τοιάν-]
δε· καὶ νόστιμον καὶ [φαῦλον ἐν(εῖναι), ὧν τὸ μ](ὲν)
νόστιμον ἀναλαμ[βάνεσθαι διὰ τῶν ἀραιω-]
μάτ(ων) καὶ π(ροσ)τίθεσθαι το[ῖς σώμασιν,] τὸ
δὲ φαῦλον φέρεσθαι ε[ἰς τὸ κάτω καὶ] διὰ
τὰς ἀπουρήσεις ἀποκρ̣[ίνεσθαι εἰς τὸ] ἐ̣κ̣τ(ός).

XXIX 35 ὑπολαβεῖν K 41 $\overset{\varphi}{\text{τρο}}$ atramento pallidiore ad marginem supplevit P 46 $\overset{\sigma}{\text{νο}}$ P 47 ἀεὶ τροφὴ τῆς incerta lectio; . . . . . οσ.. . . aegre agnoscas in P 48 fortasse ὡς εἴρηται; cf. v. 38 sqq. fortasse post κατὰ intercidit τὰ ut XXX 32 49 ἐσμεν non sine vestigiis scripsi ὑποδεδειγμένων] dicit caput incohatum de secretionibus

XXX 2 ἐνεῖναι non sufficit μὲν] compendium in sinistro margine c. XXXI servat P; item v. 4. 5. 6. 17

XXX οἱ δὲ ἔφασαν πᾶν μ(ὲν) ὑγρ[ὸν ὁμοειδὲς αὐτὸ] ἑαυτῶι (εἶναι), ἤδη δὲ κατὰ [τὴν ἀνάληψιν] αὐτοῦ τὸ μ(ὲν) ἀναδιδ[όμενον προστίθεσθαι] τοῖς σώμασιν, τὸ δὲ μ[ὴ ἀναδιδόμενον εἰς] τοὺς κατὰ τὴν κύστιν [τόπους φέρεσθαι, ὅθεν διὰ] τῆς ἐν τούτοις [ἐνυπα[ρχούσης]] δυνά[μεως μεταβαλλόμ(εν)ον] ἀποκρίνεται δριμύ τε [καὶ ἁλμυρὸν γενόμενον]. ταύτῃ γ(ὰρ) τὸ οὖρον ἑλκούσ[ης, δῆλον] ὅτι (ἐστὶν) δριμύ τε καὶ ἁλμυρόν. [* π(ρὸς) δὲ ἐκεῖ-]νο ῥητέον, ὅτι ἐπὶ τοῦ πρώτ[ου ἐκκει-]μένου γίνονται οἱ πλείου[ς τ(ῶν) ἀρχαίω]ν. καὶ εἰς τοῦ[το ὑ]ποδείγματι χρῶν[ται τῇ θα-]λάσσῃ καὶ τῶι ἡλίωι· * οὗτος [γ(ὰρ) τῶι ἄναμ-]μα νοερὸν ἐκ θαλάσ[σης εἶναι ἀπὸ] τοῦ νοστίμου τοῦ κ(ατὰ) τὴν θ[άλασσαν] τρέ[φ]εται, ἀναλαμβάνων μ[ὲν τὸ λεπτόν, τὸ δὲ] ἀργότερον καὶ παχύτερον κ[αὶ ἁλμυρὸν κ(ατα)λεί-]πων ἐν τῆι θαλάσσῃ. * ἀποφ[έρεται δὲ ὁμοίως] τοῦ π(ροσ)φερομένου ὑγροῦ τὰ τ[ρέφοντα ἡμᾶς]· ἀπὸ γ(ὰρ) τούτου τὸ μ(ὲν) νόστιμον [καὶ λεπτὸν] ἀναδίδοται εἰς τὰ σώμα[τα ἡμῶν, τὸ δὲ] φαυλότερον καὶ ἀργότερον σκ[ῶρ γι(νόμενον) διὰ] τὴν κύστιν εἰς τὸ ἐκτὸς ἀποκρ[ίνεται]. τούτων οὕτως ἐκκειμέν(ων) ἀ[πορούμ(εν)οι μ(ὲν)] οὐκ ἔχομεν παγίως εἰπεῖν πε[ρὶ τοῦ ὑγροῦ] τοῦ ἀποκρινομένου κ(ατὰ) [τὰ] ἀπου[ρήματα, πό-]τερον τὸ ἀλλότριόν (ἐστιν) τὸ ἀποκρ[ινόμ(εν)ον, ὃ ἐν-]υ[πῆ]ρχεν τῶι ὑγ[ρ]ῶι καὶ [ὃ φύσει δοκεῖ]

XXX 18] cf. Aetius de placitis II 20,16 [Doxogr. 351b9]: Ἡράκλειτος καὶ Ἑκαταῖος [cf. E. Schwartz Mus. Rhen. XL 242] ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης εἶναι τὸν ἥλιον. Ibid. II 20,4 [349b4] Κλεάνθης ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης τὸν ἥλιον. Arius Didymus fr. 34 ap. Stob. Ecl. I 26 [Doxogr. 467,17]: Χρύσιππος τὸ ἀθροισθὲν ἔξαμμα μετὰ τὸν ἥλιον νοερὸν ἐκ τοῦ ἀπὸ τῶν ποτίμων ὑδάτων ἀναθυμιάματος· διὸ καὶ τούτοις τρέφεσθαι.

XXX 9 ἀναδιδόμενον K 12 μεταβαλλόμενον] cf. v. 36 28 σκῶρ] σκ perspicue P; tamen supplementum non certum 31 περὶ] πε, fortasse πα P 32 ἀπουρήματα] sic quod clare exhibet απου P supplevi etsi sine exemplo vocabulum; etiam ἀπουρεῖν, ἀπούρησις (XXX 6) rara

XXX ἐνυπάρχειν ἀχρ⟨ε⟩ῖον ὑγρόν, [ἢ ὃ γι(νόμενον) ἐν τῆι] κύστει μεταβάλλεται [πρὸς τὸ φαῦλον. * ἐ-] κεῖνο δὲ λέγομεν, ὅτι ἀπὸ τοῦ [π(ροσ)φερομ(έν)ου] ὑγροῦ ἀποκρίνεται κατὰ τὰ σ[ώματα] ὑγρὸν δριμύ τε καὶ ἁλμυρόν. * [καὶ ταῦτα μ(ὲν)] περὶ τῆς διοικήσεως τῆς κ(ατὰ) τὴν [κύστιν. * πει-] ρῶνται δὲ κ(ατα)σκευάζειν, ὅτι ἀπὸ πα[ντὸς τοῦ] σώματος συνεχεῖς γί(νονται) ἀποφοραί. λο[γιζόμενοι] ἀπό τιν(ων) τοιούτ(ων)· καὶ πρῶτον ἀπὸ τ(ῶν) ἀ[ρωμάτων]. ἀρώματα γ(άρ), φασίν, εἰ π[ό]ρρω κέοιτο, [ὀσφραινό-] μεθα τῶι σώμα⟨τα⟩ φέρεσθαι ἀπ' αὐτ[(ῶν) π(ρὸς) ἡμᾶς.] τάχα δὲ πρὸς ταῦτ' ἐροῦσι ἀπὸ μ(ὲν) τ(ῶν) [ἀρωμάτ(ων)] μὴ γί(νεσθαι) ἀποφορὰν σωμάτ(ων), [δ]ια[τίθεσθ(αι)] δὲ τὸν ἀέρα π(ρὸς) τ(ῶν) ἀρωμάτ(ων), τρό[πον] δὲ τοῦτον κατὰ τὰς εἰσπνοὰς [αἴσθησιν γί(νεσθαι)] ἡμῖν τ[(ῶν)] ἀπὸ τ(ῶν) ἀρωμάτ(ων) δια[πνοῶν καὶ μὴ] εἶναι ἀποφοράν. * * νωθρὸν δὲ λία[ν φαίνεται] τοῦτο· σώματα γ(άρ) (ἐστιν) κατὰ τὸ λόγωι θε[ωρητὸν]

XXXI τὰ ἀποσπώμενα ἀπὸ τ(ῶν) ἀρωμάτ(ων). καὶ τοῦτο δῆλον ἐπὶ τ(ῶν) πεπαλαιωμένων ἀρ⟦αι⟧ωμάτων· ταῦτα γ(ὰρ) ἀσθενῆ καὶ οὐκ ἐνεργοῦ[σ]αν ἴσχει τὴν δύναμιν διὰ τὸ πολλὴν γεγενῆσθαι ἀπ' αὐ- τῶν διὰ τὸν χρόνον ἀποφοράν, ἐξ ὧ[ν] συνάγεται τὸ λεγόμενον. * * καὶ ἀπὸ τ(ῶν) κρεῶν δὲ τατὸ ὑπο- μιμνήσκουσι λέγοντες τὰ μ(ὲν) ἕωλα κουφότερα (εἶναι) καὶ ὀλιγοτροφώτερα, τὰ δὲ πρόσφατα βα⟨ρύ⟩τερα καὶ πολυτροφώτερα. καὶ τοῦτο δῆλον ἐπὶ τῆς αὐτοψίας· σταθὲν γ(ὰρ) τὸ ἕωλον κρέας κατα- λήψῃ κουφότερον, τὸ δὲ π(ρόσ)φατον βαρύτερον. τίνος αἰ(τίας) γι(νομένης); δῆλον ὅτι τῶι ἀπὸ μ(ὲν) τ(ῶν) ἑώλων πολλὴν γεγονέναι ἀποφοράν, ἀπὸ δὲ τ(ῶν) π(ροσ)φάτ(ων) ὀλίγον, καὶ μὴ διαφέρειν ἢ κατὰ τὸ αἰσθητὸν ἀπὸ τοῦ ὑποκειμένου ποιεῖσθαι ἀφαίρεσιν ἢ κ(ατὰ)

XXX 36 πρὸς] umbram servat P 42. 43 K 44 πωρρω ut solet P 52 K
XXXI 5 K 12 τίνος αἰτίας γινομένης] cf. XXII 17. XXXII 38. XXXVII 2
14 an ὀλίγην? αἰσθητὸν] ο ex η? P

XXXI τὸ λόγωι θεωρητόν. * * καὶ μὴν καὶ ἀπὸ τ(ῶν) ἄρτ(ων) ταὐτὸ κ(ατα)σκευάζουσιν· οἱ γ(ὰρ) θερμότεροι βαρύτεροί τε καὶ πολυτροφ[ώ]τεροι, οἱ δὲ ψυχρότεροι κουφότεροι καὶ ὀλιγοτροφώτεροι διὰ τὴν αὐτὴν αἰτίαν. καὶ ταὐτὰ πιστοῦσιν οἱ ἀλ⟨ε⟩ῖπται· οὐκ ἄν ποτε γὰρ π(ροσ)έφερον τοῖς ἀθληταῖς θερμούς τε ἄρτους καὶ πρόσφατα κρέα, εἰ μὴ βαρύτερα ἦ⟨ν⟩ καὶ πολυτροφώτερα, τοὺς δὲ ψυχροτέρους ἄρτους καὶ τὰ ἕωλα τ(ῶν) κρεῶν ἐξέκλεινον, εἰ μὴ ὀλιγότροφα καὶ κοῦφα ὑ(πῆρχεν). * * π(ρὸς) τούτους τοὺς λόγους ἀντιφέρονται οἱ Ἐμ(πειρικοὶ) λέγοντες· ʻοὐκ εἴ τι ἀπό τινος ἀφαιρεῖται, ἐκεῖνο ὀφείλει κοῦφον γί(νεσθαι), οὐδ' εἴ τί τινι προστίθεται, ἐκεῖνο βαρύτερον γί(νεται), ἀλλ' (ἔστιν) ὅτε π(ροσ)θέσεως γινομένης τὸ ὑποκείμενον κ(ατα)σκευάζεται κουφότερον. (ἔστιν) δ' ὅτε καὶ ἀφαιρέσεως γενομένης τὸ ὑποκείμεν(ον) γί(νεται) βαρύτερον ὡς ἐπὶ τῶν ἀσκῶν καὶ ἐπὶ τ(ῶν) τετελευτηκότ(ων) ζώιων καὶ ἀνθέων.ʼ * * καὶ ᾱ [μ(ὲν) τ]οῦ ἀσκοῦ ὑπομιμνήσκουσιν· ʻὁ ἀσκὸς [γενόμ(εν)]ος χωρὶς πνεύματος βαρύτερός (ἐστιν), πληρω(θεὶς) [δὲ πνε]ύματος κουφότερος γί(νεται). καὶ τὰ ζῶια [ἐκ β τ]ούτ(ων) συνέστηκεν, ψυχῆς τε καὶ σώματο(ς), [καὶ ὅτε] μ(ὲν) ἀμφότερα ταῦτα πάρ(εστιν), κουφότ⟨ερό⟩ν (ἐστιν) [τὸ ζῶ]ιον, ὅτε δὲ ἀφανίζεται ἀπὸ τοῦ σώματο(ς) [ἡ ψυχή,] βαρύτερον γί(νεται) τὸ σῶμα.ʼ * ʻκαὶ μήν, φ(ασίν), [ὅτι] (ἔστιν) σῶμα ἡ ψυχή, οἱ πλείους τ(ῶν) φιλοσόφων [λέγ]ουσι. καὶ ἀσώματον δὲ αὐτὴν ἀπολεί-

XXXI 33] Simplicius ad Ar. de caelo p. 313b44 K.: τὸ δὲ τὸν ἀέρα ἐν τῇ ὁλότητι τῇ ἑαυτοῦ μὴ ἔχειν βάρος καὶ ὁ Πτολεμαῖος (in libro περὶ ῥοπῶν quem citat antea Simpl.) ἐκ τοῦ αὐτοῦ τεκμηρίου τοῦ κατὰ τὸν ἀσκὸν δείκνυσιν οὐ μόνον πρὸς τὸ βαρύτερον εἶναι τὸν πεφυσημένον ἀσκὸν τοῦ ἀφυσήτου, ὅπερ ἐδόκει Ἀριστοτέλει, ἀντιλέγων, ἀλλὰ καὶ κουφότερον αὐτὸν γενέσθαι φυσηθέντα βουλόμενος. ἐγὼ δὲ πειραθεὶς μετὰ τῆς δυνατῆς ἀκριβείας τὸν αὐτὸν εὗρον σταθμὸν ἀφυσήτου τε ὄντος καὶ φυσηθέντος τοῦ ἀσκοῦ.

XXXI 18 πολυτροφότεροι P 25 ante spatium vacuum crasso puncto distinxit P 29 fortasse γενομένης ut v. 31 33 ανθεων prave exaravit P, sed dubio vacat conl. XXXII 45 sqq. 35 vix praestat [γ(ὰρ) μόν]ος 36 K 38 ὅτε K 39. 40 K 42 [λεγ]ουσι primae litterae speciem exhibet P

XXXI [πον]τες οὐσίαν ἤ τινα αὐτὴν ἔχειν ἔφ(ασαν), [ὡς ἡ θυρὶς ἀφαι-
ρέσει μ⟨ε⟩ίζ(ων) γί(νεται), προσθέσει δὲ μικροτέρα].
[φα]νερὸν οὖν τοιγ(άρ)τοι ἐκ τ[ού]τ(ων), ὡς κ(ατὰ) ἀφαίρεσι⟨ν⟩
[γί(νεται)] βαρύτης καὶ κ(ατὰ) π(ρόσ)θεσιν κουφότης, ὡς ὑπε-
[δε]ίξαμ(εν).' * * λείαν δ' (ἐστὶν) οὗτος ὁ λό(γος) μ[ωρ]ός τε
[καὶ ἀπατ]ητικός, ὡς ἀποδείξομεν. [ᾱ] μ(ὲν) ἀπο-
[δείξομ(εν) οὕτ]ως· τινὸς γ(ὰρ) ἀφαιρέσ[ει] λέγομ(έν) τινι
[π(ρόσ)θεσιν γί(νεσθαι), ἀλ(λὰ)] οὐχὶ τούτου τῆς π(ροσ)θέσεως
[ὁ αὐτὸς λόγ]ος· π(ροσ)τίθεμεν γ(ὰρ) τῆι θυρίδι,
[ἀφαιροῦμ(εν)] δὲ τοῦ τοίχου. * * εἶτα καὶ [ἐπὶ] τῆς
[ψ]υχ[ῆς διὰ βραχ]έων λέγομεν, ὡς ἡ ψυ[χ]ὴ αἰ(τία) (ἐστὶν)
[γι(νομένη) τῆς κουφό]τητος καὶ [. .]τικυιασε [. . . .]
[. . . . .] τῆς κουφότητος· [* *] δι' ἣν αἰτίαν παρού-

XXXII σης μ(ὲν) τῆς ψυχῆς [κο]ῦφ[ό]ν (ἐστιν) τὸ ζῶιον, ὅτι καὶ πνεῦμ(α)
ἡ ψυχή, τὸ δὲ πνεῦμα κοῦφον τὴν φύσιν
⟦τοπνευμα⟧. πνευματικὴ δὲ καὶ ἡ ψυχή· τοιαύ-
τη⟦ι⟧ δὲ ὑ(πάρχουσα) [εὐλόγως] παροῦσ[α] μ(ὲν) [κο]ῦφον παρ-
έχει τὸ ζῶιον,
ἀποῦσα δὲ βαρύτερον· * ο[ὕτως] γ(ὰρ) ὑπὸ τῆς ψυχ(ῆς)
βαστάζεται τὸ ὅλον [σῶμ[α]]. γί(νεται) [δὲ . . .] λεγειν τοῦτο μ(ὲν)
⟦αποτ(ων)αλ(ων)⟧ ἀπὸ τ(ῶν) ἄλλω[ν δυ(νάμεων), α]ὗτα[ι δὲ]
ἀπὸ τ(ῶν) κει-
νήσεων. * κεινεῖται γ(ὰρ) τὸ ὅλον σῶμα τῆς
ψυχῆς διὰ τοῦ γεώδους [καὶ ἀερώδο]υς καὶ
διαβασταζούσης αὐτά· οὕ[τως ἐκεῖνο τείνεται]

XXXI 43 ἤ] η clare P; non intellego. an δύ(ναμίν)? aut plura interciderunt post ἔφασαν. conexus utique talis fuisse videtur: *animam etiam ei qui corpoream non esse credebant negativa quadam potentia afficiebant, ut addita corporis pondus levaret dempta augeret, quemadmodum porta diminuendo* (sc. muro) *maior, augendo minor fieret* 45 K 45. 46 ὑπεδείξαμεν K 46 λειανο P ([π]λειονα K) cf. XXVI 49. XXX 51 47 ητικοσ vel ηγικοσ P 50 fortasse post προστίθεμεν intercidit μὲν 52 K

XXXII 1 K 6 λεγειν vel λευειν vel λευσιν P; vix verum κ(ατὰ) κέλευσιν 7 inclusi priorem lectionem (ubi ολων legi potest), quam emendavit sed non delevit P; porro inter κεινήσεων et κεινεῖται aliquid velut κείνης i. e. τῆς ψυχῆς videtur omisisse P 9 ἀερώδους potius quam πυρώδους P καὶ otiosum indicio esse videtur plura elementa intercidisse, quo fortasse etiam δια (init. v. 10) pertinet cf. v. 17; Stoicorum stoechiologia (Galen. IV 783 K. II 45,4 Müller) procul habenda

XXXII ἄνω· γινομένη[ς] γ(ὰρ) αὐτῆς τῆς ψυχῆς γί(νεται)· διὸ δὴ καὶ ῥη[τ]έον, ὅτι ⟨οὐχ⟩ ὅταν τ[ινὸς γένη]ται π(ρόσ)θεσις, ἐκεῖνο γί(νεται) βαρύτερον, ἀλ(λὰ) [ἐὰν] βαρέος τινός τινι γένηται π(ρόσ)θεσις, ἐκεῖ[νο γί(νεται) βαρύτερο]ν. ἡ δὲ ψυχὴ τοσοῦτον [ἀπ]έχε[ι τοῦ (εἶναι)] βαρεῖα, ὥστε καὶ τὸ φύσει κ(ατα)ρρέπον κ[ου]φίζειν καὶ βαστάζειν. ταύτης οὖν πα[ρ]ούσης δεόντως κοῦφόν (ἐστιν) τὸ ζῶιον. ὅταν μέντοι γε ⟦..⟧ ἀφανισθῇ ἡ ψυχή, τῶι μηκέτι παρεῖναι τὸ κουφίζον μηδὲ αἰωροῦν λοιπὸν βαρέ⟦ι⟧α φαίνεται εὐλόγως τὰ νεκρὰ τ[αύτης] αἰ(τίᾳ). καὶ ἐπὶ τ(ῶν) ἀσκῶν δὲ πεπληρωμέν(ων) [τοῦ πνεύμ(ατος)] κουφότης καταλαμβάνεται τῶι τοῦτο κ[οῦφον] ὂν κουφίζειν τὸν ἀσκόν. ὅταν δὲ μὴ [παρῇ] τὸ πνεῦμ(α), βαρὺς γί(νεται) ὁ ἀσκὸς τῶι ἐστερῆσ[θαι] τοῦ κουφίζοντος αἰ(τίου). ※ ἀ[λ(λὰ)] γὰρ δι[ὰ] ταὐτὸ [γί(νεται) καὶ] τὰ τ(ῶν) θερμῶν ἄρτ(ων)· καὶ ψυχρότεροι μ(ὲν) ⟨κουφότεροι⟩, [θερ]μότεροι ⟨δὲ⟩ βαρύτεροί (εἰσιν)· καὶ [βαρύτεροι μ(ὲν) οὗτοι τῶ]ι μηδέπω πολλὴν ἀποφορὰν γεγενῆ[σθαι] ἀπ᾽ αὐτ(ῶν), οἱ δὲ ψυχροὶ κοῦφοι (εἰσιν) τῶι ὅλης [τῆς ὕλης] ἱκανὴν ἀποφορὰν γεγενῆσθαι. ※ ἔτι [δὲ] καὶ ἀπὸ τούτ(ων) διδάσκουσιν, ὡς γί(νονται) [ὄν]τως ἀποφοραὶ κ(ατὰ) τὸ λόγωι θεωρητὸν κ[αὶ] α[. . .] αἰ(τίων) ὑ(παρχόντων)· τὰ γὰρ ὑγρὰ τὰ ἐν ἀγγείοις τισὶν [ὑπομε]ίναντα ποσοὺς χρόνους ἐλάττω⟦ι⟧ καταισθάνεται. καὶ ἀπὸ τ(ῶν) χυλῶν τατὸ γί(νεται)· ἐνίοτε γ(ὰρ) ὑπὸ ἡλίου ἢ ἄλλων τιν(ῶν) συνξηρανθέντες ἐπί τινος φαίνονται. τίνος γι(νομένου); τῶι δηλον⟨ό⟩τι λε[πτὴν ἀπο-]φορὰν γεγενῆσθαι ἀπ᾽ αὐτ(ῶν) τοῦ λεπτομ[ερεστέ]ρου,

XXXII 11 γί(νεται) ultima vox videtur esse 13 ἐὰν] ὅταν spatium non capit 14—17 K 16 το vel τα P 20 fortasse corrigendum αἰωρεῖν 21 K 23—25 K 27 θερμότεροι K 29 K 30 et 33 extrema dubia, αἰτίων explicat v. 36 sqq. 35 καταισθάνεται omnibus litteris praeter θ perspicuis paene certum 38 cf. XXXVII 2 τῷ] cf. ad XXXI 12

XXXII ὑπομονὴν δὲ τοῦ γεωδεστέρου, [ἃ] δὴ [αὐ]τὰ [γί(νεται)] καὶ ἐπὶ τ(ῶν) ἀναπλασσομέν(ων) κολλυρίων. ※ καὶ ἐπὶ τὰ φυτὰ δὲ μεταβαίνουσιν καὶ λέγουσιν τὰ μ(ὲν) παραυτὰ ἀποτμηθέντα βαρύτερα (εἶναι), τὰ δὲ ποσοὺς ὑπομείναντα χρόνους [κο]υφότερ(α) ὡς ἐπὶ τῆ[ς] θριδακείνης, ἐπὶ τ(ῶν) ἀνθέων· ταῦ[τ]α γ(ὰρ) πάντα διὰ τὴν ἀποφορὰν ῥυ[σόκ]αρ(φα) κατασκευάζεται. ἐγ δὴ τούτ(ων) καὶ τ(ῶν) τού[τοι]ς παραπλησίων πιστοῦσιν, ὡς ἀποφορὰ γί(νεται) ἀπὸ τοῦ σώματος. ※ ※ πρὸς τοῦτον τὸν λό(γον) λέγουσιν· εἰ ἡ ἀποφορὰ αἰ(τία) (ἐστὶν) τῆς ῥυσότητος, ἐχρῆν μὴ μόνον κ(ατὰ) τὴν ἀπότμηξιν ῥυσοῦσθαι τὰ προκείμενα, ἀλ(λά) τι καὶ ἐπὶ τ(ῶν) δενδρ(ῶν)· καὶ γ(ὰρ) καὶ ἀπὸ τοῦ δένδρους ἀπουσία γί(νεται)· [οὐ] γί(νεται) δὲ τοῦτο· οὐκ ἄρα ἡ ἀποφορὰ αἰ(τία) ἐστὶ τῆς ῥυσότητος. ※ ※ συλλέγουσι δὲ οὗτοι

XXXIII τὸ ἀνὰ λόγον· γίν(εται) μ(ὲν) γ(ὰρ) καὶ ἐπὶ τῶν δενδρῶν ἀποφορὰ τ(ῶν) ἀνθέων ⟦οὐ⟧ π[λ]είων, ⟦~~αλλαυδενδρων~~⟧ ἐ[πὶ] δὲ τ(ῶν) ἀφειρημέν(ων) [οὐ] πλείων. ※ καὶ ἐπὶ μ(ὲν) ⟦τ[(ων)] ἐπι⟧ τῶι δένδρει καὶ ἡ κείνησις αὐτὴ ἀναλοῖ πλείω καὶ ἔτι ἡ θερμασί[α] ἀναλοῖ ἱκανά. ※ ἐπὶ δὲ τῶν ἀποτετμημέν(ων) καὶ μὴ ὑπὸ φύσεως διοικουμέν(ων) ἐλάσσω τῶι μήτε κείνησιν μήτε θερμότητά τι⟨να⟩ (εἶναι) ἐπ' αὐτ(ῶν). τίς οὖν ἡ αἰ(τία), παρ' ἣν τὰ μ(ὲν) ἀποτμηθέντα ξηραίνεται, τὰ δὲ ἐπὶ τῶι δένδρει οὐ ξηραίνεται; ※ σαφὴς δὲ αὕτη καὶ φαινομένη· τὰ μ(ὲν) [γ(ὰρ)] ἐπὶ [τῶι] δένδρει οὐ ξηραίνεται τῶι π(ρὸς) λόγον τῆς ἀποφορᾶς γί(νεσθαι) καὶ τὴν πρόσθεσιν. ※ ※ τὰ δὲ ἀποτμηθέντα ξηραίνεται τῶι μηκέτι γί(νεσθαι) ὡς αὐτὰ π(ρόσ)θεσιν, ἐξ ὧν [σαφ]ὲς ὡς καὶ ἀπὸ τ(ῶν) φυτ(ῶν) γί(νεται) ἀποφορά. ※ καὶ ἐπὶ τ[ὰ] ἄλογα δὲ τ(ῶν) ζώιων [καταβαίνουσι]. λαμβάνουσιν γ(ὰρ) τοὺς [θηρευ-] τὰς κύνας, ὡς οὗτοι τῆι ῥινηλασίᾳ συν[θ]η-

XXXII 46 ρυ ... αρ̄ P: supplevi ex Dioscoridis I 13 p. 26, 12 ῥυσσόκαρφον (sic libri) i. e. *siccatione rugosum* 47 K

XXXIII 3 ἀφειρημένων] cf. ad III 30 10 K 13 ὡσαυτά M. Fraenkelius

XXXIII ῥεύουσι τὰ θηρία τρόπωι τούτωι· παραγίνονται ἐπὶ τὰς ἀτραπούς, δι' ὧν κεχώρη[κεν] τὰ θηρία, καὶ τ(ῶν) ἀτραπῶν ὀδμωμέν[(ων)] χωροῦσιν ἐπὶ τὴν θήραν. τίνος αἰ(τίας) γι(νομένης); δῆλον ὅτι τῆς ἀπὸ τ(ῶν) θηρίων ἀποφορᾶς προσκαθιζούσης π(ρὸς) τὰς ἀτραπούς. ταύτηι δὴ καὶ ἐν τοῖς καταξήροις τόποις θῆραι οὐ γί(νονται), ἐν μέντοι γε τοῖς χαυνοτέροις. καὶ ἡ αἰ(τία) π[ρό]κειται, ἐπειδήπερ τὰ ἀπὸ τ(ῶν) θηρίων σώματα ἀποσκιδνάμενα π(ροσ)πείπτοντα μὲν γῆ ἀποκρότωι καὶ [[μη]] καταξήρωι [[τῆ]] κατασκ[ίδν]αται, χαυνοτέρᾳ δὲ π(ροσ)πεσόντα καὶ παραδεχομένῃ φυλάσσεται καὶ διαμένει. ταύτῃ δὴ καὶ οἱ θηρ[ευ]ταὶ κύνες χωροῦντες καὶ ὀσφρώμενοι τῆς ἀποφορᾶς τῆς ἀπὸ τ(ῶν) θηρίων τῶι περισώζεσθ(αι) αὐτήν, εἶτα χωρήσαντες καταλαμβάνουσι τὸ θηρίον καὶ αἱροῦσι. * ταύτηι δὴ καὶ ἐπὶ τ(ῶν) ὑετ(ῶν) οὐ γί(νονται) ῥινηλασίαι κατὰ λόγον· ἐξαφανίζων γ(ὰρ) [ὁ ὄμ[βρος]] τὰ ἀπὸ τ(ῶν) θηρίων σκιδνάμενα σώματα κωλυτήριος γί(νεται) τῆς θήρας. καὶ τούτωι μ(ὲν) τῶι τρόπωι γί(νονται) αἱ θῆραι. * * μάλιστα δὲ γί(νονται) καὶ ἐὰν σκύλ[ακες] [[κες]] ἕπωνται τοῖς θηρίοις καὶ ἐὰν νέα ᾖ· ἁπαλώτερα γ(ὰρ) ὄντα πλ[εί]ονα τὴν ἀποφορὰν ποιεῖ· οὕτως γε ἡ γῆ πλείονα δεχομένη τὴν ἀποφορὰν ῥᾳδίως σημαίνει τοῖς κυσὶ τὰ θηρία. εἰ δὲ ταῦτα, φανερὸν ὡς γίνονταί τινες ἀποφοραὶ καὶ ἀπὸ τ(ῶν) ἀλόγ(ων) ζώιων. * * π(ρὸς) [δὲ] τούτοις καὶ Ἐρασίστρατο[ς] πειρᾶται κ(ατα)σκευάζειν τὸ προ[τε]θέν. εἰ γ(ὰρ) λάβοι τις ζῶιον οἷον ὄρνιθα ἤ τι τῶν παρα-

XXXIII 19 ὀδμωμέν[(ων)] non ὀδμώμενοι supplevi propter XXXIV 48 24 K 25. 26 an transponendum ἀποσκιδνάμενα σώματα ut v. 35? 26 γη vel τη P; hoc etsi commendatur iterato τη v. 27, si modo recte valde oblitteratas litteras legi (assentiente K), tamen reicitur omisso articulo ante χαυνοτέρᾳ 27 κατασκνιδαται sic P 29 θηροται P; θηρωτής iuxta θηρευτής non analogia caret (cf. λεσχηνωτής ionica vox in Laertii codd. quater tradita, Lobeckii Rhem. p. 204), at exemplo; nam Hesychii θηρότις perdubium 30 noli ὀσφρόμενοι 39 πληονα P

XXXIII

πλησίων, καταθοῖτο δὲ τοῦτο ἐν λέβητι ἐπί τινας χ[ρόνου]ς μὴ δοὺς τροφήν, ἔπ⟨ε⟩ιτα [σταθμ]ή[σαιτο] σὺν [τ]οῖς σκυβάλοις τοῖς αἰσθη(τῶς) [κεκ]ενωμένοις, εὑρήσει παρὰ πολὺ ἔλασσον τοῦτο τῶι σταθμῶι τῶι δηλον⟨ότι⟩ πολλὴν ἀποφορὰν γεγενῆσθαι κ(ατὰ) τὸ λόγωι θεωρητόν. * * ἀλλὰ γ(ὰρ) [καὶ] ἐπὶ τὸν ἄνθρωπον μεταβαίνοντες [ποιοῦ]νται τὸν λό(γον)· οἵ τε γ(ὰρ) πιόντες ἀρώματα [κ]αὶ οἱ σκορ[δ]οφαγήσαντες ὅμοιον ἔχουσι [τ]ὸ διὰ τ(ῶν) ἱδρώτ(ων) κενούμ[ε]νον τοῖς π(ροσ)ενη-

XXXIV

νεγμένοις, ὡς ἂν δὴ ἀποφορᾶς γεγενημέν(ης) κατὰ τὸ λόγωι θεωρητὸν ἀπὸ τ(ῶν) π(ροσ)ενηνεγμέν(ων)· εἰ δὲ ταῦτα ἐν τῆι ἡμετέραι συγκρίσει ὄντα ἀποφέρεται κ(ατὰ) τὸ λόγωι θεωρητὸν καὶ κατὰ τὸ αἰσθ(ητόν), καὶ ἐκτὸς ὄντα ἡμῶν ἕξει σώματά τινα ἀπορρέοντα ἀπ' αὐτ(ῶν). * * ὁ δὲ Ἀσκληπιάδης πειρᾶται κατὰ τὸν τόπον καινολογεῖν· τὰ γ[(ὰρ)] ἀρώματά φ(ησιν) καὶ τὰ σκόροδα τὴν ἰδίαν ποιότητα ἀποβάλλειν ἐν τῆι ἡ[με⟨τέ⟩]ρα συνκρίσει γενόμενα. εἰ γ(ὰρ) συνέσω[ζε]ν ἐν ταῖς ἡμετέραις συγκρίσεσι τὰς ποιότητας, [ἐνῆ]ν καὶ ἡμᾶς καὶ αἰσθάνεσθαι καὶ συναντιλαμβ(άνεσθαι) [. . . . .]υ γ(ὰρ) [ἐπὶ] λ[ε]λυμένης καθ' ὅλον [. . . . .] τὰ ληφθέντα καὶ ἐξαιματω[θέντα . . . .]θεν μόριον τοῦ σώματος [. . . . .]ρας εἰ τοῦτο [. . . . .] καὶ τοῖς μυκτῆρσι [. . . . .] γί(νεται) ανεν[. . . . . .] ἡμῶν, ἐπειδήπερ [. . . . . .] ἡ ποιότης [ἐν τοῖς] ἡμετέροις σώμασίν (ἐστιν) [. . . . .] αἰσθανόμεθα γ(ὰρ) [. . . . .] ὅτι δὲ αἱ ποιότη[τες . . . .] τῶι σώματι δὲ γενη[θ(. . . . .)] [. . . . . ἀποφε]ρομένας αἴ(τι . . .) ὑπο [. . . . .]ει * ἴσως δέ τις ἐρεῖ [. . .] συνδια [. . . . . . .]ες τ(ῶν) λαμβανομέν(ων)

XXXIV 5. 6 απόρρεοντα etsi male scriptum liquido exhibet P 7 K 9 ημερα errore scripsisse puto P: ἡμῶν vel ἰδίᾳ (K) minus apta vestigiis

XXXIV [. . . . . τῆ]ς ποιότητος [. . . . .] τῆς ἐν τοῖς σώμασιν ο[. . . . .]μ(έν)αις φ[λεψὶ]ν ἀναλύεται καὶ ἀπόλ[λυται . . . .] ἐπὶ φανε[ρ]ὰ γένη

[.]οι τα[.]λ[.]ι σωμ[. . . .]ται καὶ περισώζεται [. .]λα. ⁂ πρ[ὸς μ(έν)τοι] τοῦτον πειρῶνταί τινες [ἀντι]λέγειν, φ[έρεσθαι] μ(ὲν) καὶ ἐπὶ τοὺς μυκτῆρας τὸ ἀ[ναθυμια]τὸν καὶ ἐπὶ τὰ λοιπὰ μέρη [το]ῦ σώματος, [μηδὲν] δὲ ἐπὶ πλεῖον κακοῦν τὴν αἴσθη[σ]ιν καὶ κωλυτήριον γί(νεσθαι) τῆς ἀντι[λήψεω]ς τ(ῶν) ἐδεσθέντ(ων). ⁂ ὃν τρόπον καὶ οἱ βυρσοδέψαι· οὗτοι γ(ὰρ) κεκακωμένην ἴσχοντες τὴν αἴσθησιν οὐδὲν παραποδίζονται κατὰ τὴν ὀδμήν· ⁂ τὸν αὐτὸν καὶ ἀ[πὸ] τ(ῶν) ἐδεστῶν κακουμένη αἴσθησις ⟦ουκαντιλαμβ⟧ οὐκ ἀντιλαμβάνεται τῆς δυ(νάμεως) τῆς ἀπ' αὐτ(ῶν).

οὐ πιθανῶς δὲ οὐδ' οὗτοι ἐπιχειροῦσιν ⟦π(ρος)αυτ(ον)⟧· ἡμεῖς δέ φ(αμεν) πρὸς τὸν Ἀσκληπιάδη, διότι ἡ αἴσθησις τ(ῶν) ἐν ἡμῖν οὐκ ἀντιλαμβάνεται δι[ὰ] τὸ μὴ ὑποπείπτειν αὐτῆ[ι] αὐτά. ὃν γ(ὰρ) τρόπ[ον] τὸ πεσ⟨σ⟩όμ[εν]ον ἐν οἰκείωι τό[πωι] δεῖ (εἶναι), ἵνα πέψῃ, καὶ [ὃν] τρόπον τὸ ἐξαιματούμενον δεῖ ἐν οἰκείῳ τόπωι γενέσθαι εἰς τὸ ἐξαιματωθῆναι, ο(ὕτω) καὶ τὸ ὀδ[μ]ώμενον ἐν οἰ[κείω]ι τόπωι δεῖ (εἶναι) εἰς τὸ [ὀσ]φρηθῆναι. τὰ δὲ ἐν ἡμῖν ὑ(πάρχοντα) μὴ ὑποπεί[πτ]ον⟨τα⟩ τῆι αἰσθήσει εἰκότως ἐγλανθάνει αὐτήν· δι' ἣν αἰ(τίαν) τ(ῶν) εὐωδῶν λαμβανομέν(ων) [ἡ αἴσθ]ησις οὐ καταλαμβάνει τὰς τούτ(ων) ποιότητας. καὶ π(ρὸς) μ(ὲν) τὸν Ἀσκληπιάδη ταῦτα. ⁂ λέγουσι

XXXIV 28 K 29 fortasse σωματοῦται 32 ἀναθυμιατὸν sensui ac vestigiis respondens, at singulari forma 33 μηδὲν] cf. v. 37 34. 35 K 35 post τρόπον non extitit ἔχουσιν, at audiendum, utique ὃν τρόπον — ὀδμήν per anacoluthian est pro protasi, cuius apodosis sequitur v. 38 sqq. τὸν αὐτὸν κτλ. 38 K 41 ουτοι vel αυτοι P πρὸς αὐτόν, quod ultro addiderat, illico digito abstergens atramentum delevit P 45 πεψη non πεφθη exhibere videtur P; scil. ὁ τόπος 48—50 K

XXXV δὲ καὶ ἀποφέρεσθαι ἀπὸ [τ(ῶν)] ἡμ[ετέρων] σωμάτων θερμότητα καὶ ὑγρότ[ητα. καὶ] ὡς [ἡ μὲν] θερμ[ό]της ἀποφέρεται, ὑπομιμν[ήσκο]υσι [διὰ] τούτ(ων)· τὰ ἱμάτια ψυ⟨χρό⟩τερα περιβ[αλόμ]εν[οι θ]ερμότερ(α) εὑρίσκομεν, ὡς ἂν δὴ τῆ[ς ἀφ' ἡμῶν] ἀποφερομένης θερμότητος [ἐγκα]θιζούσης τοῖς περιβολαίοις. * * καὶ [μὴν ὅτι] καὶ ὑγρό[τ]ης ἀποφέρ[(εται)] πιστοῦσι[ν] ἀπὸ τ(ῶν) ἱματίων· ξηρὰ γ(ὰρ) περ[ιβαλόμ(εν)οι] ταῦτα καταλαμβάνομ(εν) ἔνικμα [γενόμ(εν)α διὰ] τὸ ὑγρόν, ὡς καὶ ὑγρότη[ς ἐγκ]αθ[ίζουσα ἡμῖν ἀπο-] φέρεται ἀπὸ τ(ῶν) ἡμετέρ(ων) σωμ[άτ(ων). οἱ γὰρ . . . . .] κοι π(ρὸς) ὄρθρον διαναστάντες [. . . . .] βαρυνόμενοι τῆς γι(νομένης) [. .]σ[. . .]τυ[. . . . . .] ορευγομενοι ταυ[. . . . .] μετὰ τὸ περιπάτωι [. . . . .] τροφῆς τινος γενηθεν[. . .] δι[. . . . .] πολλῶν διαπεφορημ[(έν).]ι[. . . . .] λόγωι θεωρητοὺς ἀπὸ τ(ῶν) ὑ[. . . . .] καὶ οὐ μόν⟨ον⟩ δὲ τοῦτο κ(ατα)σκ[ευάζουσ]ιν, [ἀλ(λὰ) ὅτι] καὶ διάφοροι ἀποφοραὶ γί(νονται) ἀπὸ [τ(ῶν) σωμάτ(ων)]. καὶ τοῦτο ὑπομιμνήσκου[σιν οἱ] περὶ ['Ασκληπιάδη] καὶ 'Αλέξανδρον τὸν Φιλαλήθη, [ὅτι τὰ αἰσθη-]τῶς κενούμενα διάφορά (ἐστιν) [καὶ τὰ κ(ατὰ) τὸ λό(γωι)] θεωρητὸν ἀποφερόμενα οἷα [. . . . .]. ὅτι δὲ τὰ αἰσθητῶς κενού[μ(εν)α διάφορά] τέ (ἐστιν) καὶ ποικίλα, [ὡς ἀπ]⟨ε⟩δεί[ξ]αμεν, [δῆλον· (ἔστι) γ(ὰρ) ξη]ρὰ καὶ ὑγρά. * * καὶ [ἄλλη] (ἐστὶν) [διαφορὰ κ(ατὰ) τοὺς τό]πους· ἃ μ(ὲν) γ(ὰρ) διὰ σιάλων [κενοῦται,] ἃ δ[ὲ διὰ ἀποπάτ](ων), ἃ δὲ διὰ μηνιαί[ων . . . .]

XXXV 2. 3 K 5 ὡς] ω ex τ corr. P 10 τὸ ὑγρόν] primo obtutu ψοτερον P, quae species efficitur hasta superioris τ imminente, υ et γ ambigue exaratis 11 extr. supplendumne velut ὑδρωπικοί an ἀγροῖκοι? 14 ορευγομενοι sic clare (nisi quod ο alterum etiam α) P; voluitne ἐρευγόμενοι an ὀρεγόμενοι? 18 υ ultima littera etiam τ legi potest 19 μονον K 21 nominis tenuia vestigia pellucent 23 λόγωι K 25 κενούμενα K 26 ποικιλαπδει.αμεν (ωσαπ written above) sic P

XXXV ον, ἃ δὲ [δι'] ἱδρώτων, πάντα δὲ ἀπ[ὸ δ]ιαφόρων [τόπων]. καὶ ἐφ' ἑνὸς δὲ τούτ(ων) κατ' ἰδίαν τα[ὐτὸ ὑπ]ολ[άβο]ις [ἄν]. ἐπὶ γ(ὰρ) τ(ῶν) οὔρ(ων) ἃ μ(έν) (ἐστιν) παχέ[[ι]]α, ἃ δὲ λ[επτὰ] μᾶλ[λον], ἃ δὲ χολώδη καὶ ἃ μ(ὲν) προσδ[εχόμ(εν)α το]ιάσδ[ε ὑποστ]άσ[εις], ἃ δὲ τοιάσδε, ἃ δὲ οὐδ' ὅλως ὑφισ[τάμ(εν)α, κ]αὶ ἃ μ(ὲν) [ἐπι-]νέφελά (ἐστιν), ἃ δ' οὔ. * ὡς ὁμοίως δὲ [καὶ ἐπ]ὶ τ[(ῶν) ξ]ηρῶν. τῶν κενουμ(έν)ων γὰρ αμ[. . . . . . .] γ(ὰρ) [α]ὐτ(ῶν) αἰσθ(ητῶς) κενούμενα διαφέρον[τά] (ἐστιν) δι[. . . . . κ(ατὰ)] τὸ λόγωι θεωρητὸν ἀπενεχθήσε[ται . . . .] ἀπενεχθήσεται. * * ἑπομένως [δὲ τούτοι]ς φ[(ασὶν) καὶ τὰ] αἴ(τια) διαφέροντα. καὶ τοῦτο σαφὲς ἐ[πὶ τ(ῶν) τε ὑγρῶν] καὶ ξηρῶν· τοῦτο δ' ἐπὶ τ(ῶν) ὑγρ[ῶν . . . .] καὶ ποικίλα αὐτῶν, ὅτι καὶ δια[. . . . .]ασ-ται καὶ ποικίλα. * * κ[αὶ] μὴν ἀπὸ [. . .]τ[. . .]ν ἀποφορὰ γί(νεται) καὶ ἀπὸ γυ[.]ρ[. .]υ ἀποφέ[ρεται, δι]α[φερόντω]ς δὲ καὶ ἀπὸ νεύρ(ων), ὀστῶν, π(ροσ)αι[. . . . .]ένω[ν]. εἴπερ δὲ καισ[.]αι ἀπ' αὐτ(ῶν) [ἀποφο[ραὶ]] οὐκ [. . . . .] γί(νονται), ε[ἴπερ] ἡ τροφὴ [αἷμα] . εἰ δὲ τοῦτο [οὕτως ἔ]χει, [καὶ ἀπὸ] μέρους δι[αφέρουσαν] ἀπο[φορὰν . . . .]ειν. [* ἀπ]ὸ παντὸς δὲ μ[έρους γι(νόμεναι)] ἀποφ[ορα]ὶ α[. . .]ισ[. . . .], ὅπερ (ἐστὶν) ἀδύνατον [.]τον [. . . . .] ἂν γένοιντο. [. . . . .] γ(ὰρ) δυναμ[. . . .](ων) τ(. . . . .) τοῦτο κ(ατὰ) τὴν φαντασίαν. * * [. . . . .] περὶ τὸ αἷμα τοι και γενήσονται [.]ωσ[. .]αι αυ[. .] αὐ-των τῶι καὶ [κ(ατ')] Ἀλέξανδρ[ον λό(γωι) ἐλέγ]χει [τοῦ]το

XXXVI ὁπωσοῦν. ο[ἷον] γ(άρ), φ(ησίν), ἔστι τὸ αἷμα κ(ατὰ) τὴν φαντασίαν, τοιοῦτο καὶ κ(ατὰ) τὴν δύ(ναμίν) (ἐστιν), ἁπλοῦν τι καὶ μονοειδές.

XXXV 32 extr. μαλ..υς P 33 ὑποστάσεις] cf. Hippocr. Progn. 12 [II 138 L. Gal. V 141], Coac. praen. 34, 564 [V 712 L.] 34. 35 ἐπινέφελα] cf. Hipp. Coac. l. c. 38 K 39 versus longior, vestigiis tamen aptus 44 γυ.ρ..υ vel κι.φ..ου vel simile P 46 καισ.αι vel καιθ.ει P 48 velut ἔ(στιν) (vel ἦν) εὑρεῖν. disputatio non perspicua. obloqui videntur adversarii, qui diversitatem secretionum ex nutrimenti i. e. sanguinis simplicitate refutant (cf. XXXVI 1). sed papyrus hoc loco pessima est condicione

XXXVI 1 K φησίν vel φασίν

XXXVI νωθρὸν δ' (ἐστίν) [. .]υτα γ(ὰρ) ὀρθῶς ἔχει· καὶ γ(ὰρ) παρὰ τ[ὰς] δυνάμ[εις] (ἐστὶν) διάφορον τὸ αἷμα καὶ παρὰ τὴν κ[(ατ)εργασίαν τῆς] τροφῆς. * ταύτῃ δὴ διάφορον [τὸ ἐπὶ τ(ῶν)] ἀθλ[ητῶν πα]ρὰ τὸ ἐπὶ τ(ῶν) ἰδιωτ(ῶν)· τὸ μ(ὲν) γὰρ λεπτότερόν [(ἐστιν), τὸ δὲ] τῶν ἐναντί[ων] παχύτερον. ἐπεὶ δ' οὖν διά[φορόν] (ἐστιν) τῶν ἐν ἡμῖν τὸ προκείμενον, διάφοροι γένοιντ' ἂν καὶ ἀπ' αὐτοῦ αἱ ἀποφοραί. * * ὅτι δὲ καὶ παρὰ τὴν τῆς τροφῆς κ(ατ)εργασίαν διάφορον ἂν γένοιτο τὸ αἷμα [καὶ] ἑτεροῖον κατ[ὰ] τὰς δυ(νάμεις), οὐ χρεία πολυλογίας· ἡ γ(ὰρ) τροφὴ ληφθεῖσα πρ[ώ]τ[η]ς κατεργασίας τυ[γχ]άνει ἐν στόματι καὶ διαφόρου γε [ταύτη]ς. εἰ μ(ὲν) γὰρ μ[. . . .] λεαι[. . . .]ηεισδησει μᾶλλ[ον . . . .]ψιν τε καὶ [. .]ψιν [. . . .]επι[. . . .]ν ἀπολεαιν[. . . .] κακο χ αν κατασκευα[.]ει [. . . .] αἷμα καὶ τοὺς χυμοὺς [. . . . . .] αιμ δι[. .] τοῦ φλέγματος [. . πε]ριέχειν [. . . τοῖς δ]ὲ Ἐρασιστρ(ατείοις) τἄνπαλιν δοκεῖ [ἄλ]λην ἐκεῖ [γί(νεσθαι) εἰκότ]ως παρὰ τὴν ἐν τῶι στόματι κα[τερ]γασίαν. * * διαφ[όρου γ(ὰρ)] ὑ(παρχούσης) διάφορον κατασκευάζεται τὸ αἷμα κ(ατά) τε δύ(ναμιν) κ[αὶ χρῶμα * ἐ]πεὶ τοιγάρτοι διάφορόν (ἐστιν) [τὸ] αἷμα, διάφοροι καὶ [κατὰ τὸ] λόγωι θεωρητὸν ἀποφοραὶ ἀπ' αὐτοῦ [γίνοντ]αι. * * κ]αὶ παρὰ τὴν ⟨ἐν⟩ τῆι κοιλίαι δὲ κατερ[γασίαν διά]φορ[ον ἂ]ν γένοιτο τὸ αἷμα· διὰ δὴ τοῦτο καὶ δ[ιὰ κοιλ]ίαν [κ]ένω[σι]ν ποιῆσαι [ἔ(στιν). * καὶ] ἐπὶ τ(ῶν) ἄλλων [. . . . .]μάτων τοῦτ' ἄ[ν] τις εἴποι· καὶ γ(ὰρ) παρὰ τὰς δια[γωγὰς] καὶ παρὰ τὰς [φο]ρὰς καὶ κεινήσεις διαφορὰς [τ(ῶν)] ἀποφορ[(ῶν) γί(νεσθαι)]. * καὶ [ἐπὶ] δὲ τ(ῶν) ἄλλων σωμάτ(ων), ἀρτηριῶ(ν)

XXXVI 3 fortasse τοῦτο ⟨οὐ⟩ γὰρ 4 τὴν δύναμιν K, quod non minus facile reliquiis accommodatur; at cf. v. 11 8 fortasse ἐστιν ⟨παρὰ τὴν διαφορὰν⟩ 13 ταύτης H. Schoeneus 14 δ vel χ P sensus fortasse talis: εἰ μὲν γὰρ μὴ ἀπολεαίνεται, ἐκεῖ (cf. v. 18) σχήσει (cf. IX 24) μᾶλλον τὴν ἕψιν [vel τρῖψιν] τε καὶ πέψιν, εἰ δὲ ἐπὶ πλεῖον ἀπολεαίνεται, κακοχυμίαν ἂν κατασκευάζοι κ(ατὰ) τὸ αἷμα καὶ τοὺς χυμοὺς λυμαίνοιτο διὰ τοῦ φλέγματος τῶι περιέχειν αὐτό 19 κατεργασίαν K 26 [διαιτη]μάτων suppleas an coni. 28 [δὲ σω]μάτων ordine turbato (cf. v. 30) dubium

XXXVI καὶ φλεβ[ῶν καὶ ὑμέν]ων κοινότερον ε̣ἰ̣πεῖν διαφο̣ρ(ὰν) [καταλ(είπουσιν)], [ἡ αἰ(τία) τῆς τού]τ(ων) διαφορᾶς γενήσεται. * ὅτι δὲ [καὶ κατὰ τὰς κ]ει̣[νήσ]εις διάφο[ρα] γί(νεται) τὰ σώματα, [φανερόν. οἱ] γ(ὰρ) κ[ινη]τικώτερον βιοῦντες [θερμ]ότ̣ε̣ρ̣α̣ ἔ̣χουσιν τὰ σώματα καὶ διὰ τοῦτο πλείονα τὴ[ν] ἀποφοράν, οἱ δὲ ἰδιῶται τουναντίον. τ̣α̣ῦ̣τα γ(ὰρ) παρὰ τὰς ὥρας τ̣α̣τ̣ὸ κ(ατα)σκευάζο(υσιν) [. . . .]τ̣ι̣[. . .]ι̣[.]ερεια δι[ὰ] τὴν ὑπέρμετρον θερμασ(ίαν) [. . . .]μεν [. . . . .]ροι πλεῖον κενοι̣ς τῶι [λ̣ε̣π̣τ̣]υνόμενα τ̣ὰ̣ παρακείμενα καὶ ῥευστικ(ὰ) [γιν]όμεν̣α̣ κενοῦσθαι κατά τε τὸ αἰσθητὸ(ν) κ[αὶ κ(ατὰ) τὸ λό(γῳ) θ]εωρ[ητό]ν· * * κ(ατὰ) μ(έν)τοι γε τὸν χ⟨ε⟩ιμῶ[να ἧσσον. * ἐκ τούτ](ων) τοιγάρτοι φανερόν, ὡς [. . . . . . .] μ(ὲ̣ν̣) αἱ ἀποφοραὶ κ(ατὰ) τὸ λόγωι θεωρητόν [. . . . .] ο̣ῦ̣ται. [ὥσ]περ δὲ κ(ατὰ) τὸ λόγω[ι θε]ωρ(ητὸν) κ[αὶ κ(ατὰ) τὸ αἰσθητ]ὸν διάφορα καὶ ποι⟨κί⟩λα ἀπο[κρίνετα]ι [ἀφ' ἡμῶν], οὔτ]ως καὶ κατὰ τὸ αἰσθητὸν εἰσκ[ρίνε]ται [διάφορα εἰς ἡμᾶς] καὶ κατὰ τὸ λόγωι θεωρητόν, ἅ̣[περ] τ̣[ε]τ̣ό[π]ασται καὶ πρ(ότερον), καὶ Ἀσκληπιάδης δι[ά τ]ινος ὑ[π]ομνήσεως τοιαύτης· ἡ φύσις, φ(ησίν), τ[ηρ]η[τι]κὴ κ[α]θέστηκεν τοῦ τε δικαίου καὶ τοῦ̣ ἀ̣[κο][[υ]]λούθου. ἐπεὶ γ(ὰρ) ἀπεκρίνετό τινα κ(ατὰ) τὸ αἰσθητόν, ὡς ἐδ̣ε̣ίχθη, καὶ κατὰ [τὸ] λόγωι θεωρητὸν δ̣έ̣[δοκ]τ̣αι [κ̣α̣λ̣ῶ̣ς̣], ὡς καὶ τοῦτ[ο] κ(ατ)εσκευάκαμ(εν), τὸν αὐτὸν τρόπον καὶ κατὰ τὸ λόγωι θεωρητὸν καὶ κατὰ τὸ αἰσθητὸν διάφορα εἰσκριθήσεται εἰς ἡ̣μ̣ᾶ̣ς̣. * * καὶ ὅτι μ(ὲ̣ν) εἰσκριθήσεταί τινα κατὰ τὸ λόγ[ῳ] θεωρ(ητόν)

XXXVI 29 extr. διαφορ̄ vel διαφερ̄ P   30 τούτων] scil. τῶν ἀποφορῶν   29 extr. καταP (λ superscr.)   31. 32 in. vestigia quaedam praebet P   34 K   35 κατασκευαζ̄ο P cf. fr. 14 intellego: *haec enim* (athletarum corpora) *contra tempestatum naturam* (etiam per frigora) *idem sudoris efficiunt, quod cetera sola aestate propter ingentem calorem.* fortasse: κατασκευάζουσιν ὃ τὰ λοιπὰ ἐν θερείᾳ   ιέρεια P. ε num puncto deletum an superscripta quaedam sint velut [τη]ι θ dubium. θερείᾳ explico propter v. 40. 41   37 tempto: τότε μὲν γ(ὰρ) οἱ πόροι πλεῖον κενοῦσ⟨ι⟩ τῶι κτλ.   38 in. vestigia P   42 velut διάφοροι   43 sensus: διάφορα δὲ κενοῦται   43 extr. K   45 extr. K   47 τετόπασται] cf. XXV 18   49 τηρητικὴ] cf. XXXVIII 14 et XXXIX 5

XXXVI [εἰ]ς ἡμ[ᾶ]ς, πρῶτον ἀπὸ τ(ῶν) δυνάμεων τ(ῶν) [κ(ατὰ) τὰ φάρμ]ακα ἔξεστι σκοπεῖν, * καιατῶν ἢ καπν(ῶν) καὶ καταπλασμοῦ, ἃ ἐπιτιθέμενα

XXXVII τῆι ἐπιφανεί[αι ὅ]τὲ ⟨μὲ⟩ν διαλύει τὰ ὑποκείμενα, ὁτὲ δὲ διαφ[ο]ρεῖ, ἄλλοτε δὲ [ἐπ]ισπᾶται. τίνος γινομένου; οὐ μό⟨νο⟩ν τῆς δυνάμεως αἰ(τίας) [ὑ(παρχούσης)] τ(ῶν) φαρμάκ(ων) τῆι ἐπιφανεί[αι] π(ροσ)καθιζ[ούση]ς, ἀλλὰ καὶ εἰς β[άθ]ος ἄχρι του αἰ(τίας) διοδευούσης διὰ τ(ῶν) λόγωι θεωρητ(ῶν) πόρων τοῦ σώ[ματος. * ἐξ] ὧν [φα]νερόν, ὡς καὶ κατὰ ⟨τὸ⟩ λόγωι θεωρητὸν εἴσκρισις γί(νεται) εἰς ἡμᾶς. * καὶ μὴν καὶ κ(ατὰ) τὸ αἰσθη[τὸ]ν εἴσκρισις γί(νεται). ὃ γ(ὰρ) [τὸ ἐλ]ατήριον εἰσκρι[νό]μενον εἰς τὸ σῶμα ποιεῖ[[ν]], τὸ αὐτὸ καὶ ἔξω[θεν] ἐπι⟨τι⟩θ[έμ]εν[ον ἐ]ργάζ[εται]ι. καὶ εἰσκρινόμενον μ(ὲν) καὶ ἄνω καὶ κάτω καθαίρει ὑδατώδη τε καὶ χολώδη καὶ πᾶν τὸ παρ' ἄλ(λων). διὸ καὶ δοκεῖ ἐνεργέστατον παντὸς καθαρτικ(ὸν) (εἶναι) τὸ ἐλατήριον. ἕ[κ]αστον μ(ὲν) γ(ὰρ) [τῶν κ]αθαρτικῶν ἕν τι ἀποτελεῖ ἀ[πο]τετελεσμ[(έν)ον, τοῦ]το δὲ πάντα ὅσα καὶ τἆλλα· κ[αὶ] γ(ὰρ) αλλεισι[. .]α[. .]ου ληφθὲν οἷον ἡμιωβέλιον. * * ὁ μ[ὲν οὖν] ἐλλέβορος χο[λ]ώδη καθαίρειν· καὶ ὁ μ(ὲν) λευκ[ὸς ἄνω] κεινεῖν, ὁ δὲ μέλας κάτω [καὶ] τὰ σκ[αμ]ώνεια ὑδατώδη καθαίρειν. ἐκ τούτ(ων) τοιγ(άρ)τοι καὶ τ(ῶν) τούτοις παραπλησίων φανερόν, ὡς τὰ μ(ὲν) [ἄ]λλα τὰ προ-

XXXVI 56 εισημας ex ενημιν corr. ut videtur P 57 καιατωνη potius quam κατατωντι P (etiam K); cf. Index 58 καπν' vel τανό P. de capno sive capnio (fumaria) cf. Dioscorides IV 18 [p. 599 Sp.] τούτου ὁ χυλὸς δριμὺς ὀξυδερκὴς δακρύων ἀγωγός. Galen. XII 8

XXXVII 1 ὅτε μὲν] .τεν vel .ταν P 3 ουμον (ο etiam ε vel α) P 5 αἰτίας compendio perspicuo, sed dubito an otiose scripserit P cf. v. 29 9 K 10 cf. v. 23 13 παντος sic P; cf. Index καθαρτικὸν] κ superscripto compendium quodlibet notavit P 14. 15 K 16 κ..γ' αλλεισι vel κ'..τ ελδεισι P (verbum non est ἕλκει vel ἀρκεῖ). ἐλατήριον ex cucumeris succo factum cf. Dioscor. IV 1. 52 p. 635 Spr. qui et foliorum et radicis succum (et huius III sesquiobolos) utilem dicit. inde σικύου vel σικύου ἀγρίου latere conicias 17 extr. K 18 καθαίρειν] vix opus est δύναται, quod auditur ex v. 15; cf. 22 λευκὸς K 19 spatium capit αμ non αμμ, quae vulgaris sed falsa est scriptio. de re cf. Gal. IV 760. Oribas. II 108, 12. 123, 1. IV 596, 18; omnino Arist. Probl. A 41. 864a3 20—22 K

XXXVII κείμενα ἕν τι δύναται, τὸ δὲ ἐ[λα]τήριον πολλά. ἀλ(λὰ) γ(ὰρ) καὶ ἔξωθεν ἐπιτιθέμενον τάτά δύναται· ἀναληφθέν τε καὶ ἀπὸ ῥιν[(ῶν)] ἢ καὶ ἐπιτεθὲν ἐπὶ τοὺς τ(ῶν) νηπίων [ὀμφα]λοὺς ὁ[τὲ] μ(ὲν) ἄνω καθαίρει ὁτὲ δὲ κάτω, καὶ ν[ῦν μ(ὲν) χο]λώδη, νῦν δὲ ὑδατώδη. τίνος γι[νομένου; δ]ῆλον ὅτι τῆς δυνάμεως τῆς [κατὰ] ταῦ[τα δι]κνουμένης ἄχρι τ(ῶν) ὑγρῶν τούτ(ων) δ[ιὰ τ(ῶν) λό]γωι θεωρητῶν πόρ[ω]ν. καὶ μὴν καὶ ὁ λευκὸς ἐλλέβορος [ἀ]ποθυμιώμενος γυναιξὶ ἀγωγὸς γί(νεται) τ(ῶν) καταμηνίων διὰ τὴν αὐτὴν αἰ(τίαν). * * εἶ[τα] καὶ οἱ εἰλυ[σπώ]μενοι καὶ κατα[[λε]]λυ[ο]μένας ἔχοντε[ς τ]ὰς δυνάμεις ῥώννυνται ταύτας οσ[. . . .] ἄρτ(ων)[. . .] ὀδμαί * κά[νταῦ]θά φησιν, ὡς λόγος ἔχει, Δημόκριτον [ἀσιτ]ήσαν[τ]α τέσσαρας ἡμέρας πρὸς τῶι ἀνα[ιρ]εῖσθαι γί(νεσθαι) καὶ αὐτὸν παρακλ[η]θέντα π(ρός) τιν(ων) γυναικ(ῶν) ἐπιμεῖναι ἡμέρας [τιν]ὰς [ἐν τῶι βίωι], ἵνα μὴ γένωνται ταύτ[αις δυ]στυχ[ῶς τὰ κα]τὰ κείνους τοὺς χρόν[ου]ς Θε[σμοφόρια λελ]υμένα, φ(ασὶν) αὐτὸν ἀπαλλά[ττειν] κελεῦσαι, κα[θε]ίζειν [δὲ π(ρὸ)ς το]ὺς ἄρτους, καὶ τούτους [κ]ατα[πνεῖν ἀτμὸν] τὸν γι(νόμενον) ⟦~~δουδημοκριτο~~[.]⟧. καὶ ὁ Δ[ημόκριτος] ἀπο-

XXXVII 35] Laertius Diogenes IX 43: τελευτῆσαι δὲ τὸν Δημόκριτόν φησιν Ἕρμιππος τοῦτον τὸν τρόπον. ἤδη ὑπέργηρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι· τὴν οὖν ἀδελφὴν λυπεῖσθαι, ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴ οὐ ποιήσειν. τὸν δὲ θαρρεῖν εἰπεῖν καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι. τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκράτησεν αὐτὸν τὴν ἑορτήν. ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι (τρεῖς δὲ ἦσαν), ἀλυπότατα τὸν βίον προήκατο [cf. Menagium ad h. l.] Caelius Aurelianus acut. morb. II 37 (p. 166 Amman): *sit igitur polenta infusa atque panis assus aceto infusus vel mala cydonia aut myrta et his similia. hae enim defectu extinctam corporis fortitudinem retinent, sicut ratio probat atque Democriti dilatae mortis exemplum fama vulgatum.*

XXXVII 24 cf. Galen. XII 122, 18. XVII B 122 K. 27 δηλονότι K 29. 30 K 34 sensus: *si panium odoribus vesci licet* οδμαι finali littera producta ut clausula indicetur P 34 νταυ in marginem porrexit corrigendo P 35 θα ex τα P 35 φησιν] Asclepiades, cuius exerpta finiuntur XXXVIII 53 37 K 38 τινας propter spatium supplevi: τέσσαρας K 40 χρόνους K λελυμένα] κεκωλυμένα spatiosius 41. 42 incerta lectio et restitutio, sed cf. XXXVIII 3 43 δου] i. e. τοῦ cf. Buresch *Philol.* LI 94 Δημόκριτος K

XXXVII σπασάμενος τὸν ἀπὸ τοῦ ὕ[πνου ἀτμὸ]ν ῥών-
νυταί τε τὰς δυνάμεις [καὶ ἐπιβ]ι[οῖ τὸ] λοι-
πόν. ἐπ⟨ε⟩ί τε ὑδάτια⟦ν⟧ καὶ [τὴν] λε[ιμὸν] κ[ο]ρ[έν]ν[(υσιν)]
καὶ οὕτως διεξαρκ[εῖ, δῆλον ἂν εἴ]ποιμ(εν), ὡς
καὶ διὰ τ(ῶν) λόγωι θεωρητ(ῶν) [πόρων] ἡ αἴσθησις
γίνεται εἰς ἡμᾶς. * * καὶ ἀπὸ τ(ῶν) [ἐπιφαν]ει[ῶ]ν ⟦εἰς⟧
τοῖς ἡμετέροις σώμασι π(ροσ)φέρεται τὸ πρ[οστεθέν] ⟦μὲν(ὄν)⟧.
καὶ γάρ, φ(ησίν), τὸ καστόρειον π(ροσ)τιθέμενον τοῖς
μυκτῆρσιν ἐνίοτε ῥώννυσι τὰς δυ(νάμεις) διικνου-
μένης τῆς ἀπὸ τοῦ [κασ]τορείου ⟨δ⟩υ(νάμεως) διὰ τ(ῶν) λό(γωι)
[θεωρητῶν]
καὶ ἐντεινούσης. * * τούτωι γέ τοι π(ροσ)βάλλων
ὁ Ἀσκληπιάδης κατασκευάζει, ὡς οὐ πα-
ρὰ τὸ κατατάσσεσθαι [τὸν] ἀτμὸν ἀπὸ τ(ῶν) ἄρτ(ων)
ταῖς δυνάμεσι ῥώνν[υ]νται ταύτας, [ἀλλὰ]
παρὰ τὸ διεγείρεσθαι τὴν ψυχήν. [* ὅνπερ]

XXXVIII γὰρ τρόπον τὸ καστόρειον π(ροσ)οισθὲν τοῖς μυκτῆρσι
ῥώννυσι τὰς δυ(νάμεις) διεγεῖρον τὴν ψυχὴν καὶ ἐν-
τεῖνον, τὸν αὐτὸν καὶ οἱ ἀτμοὶ γι(νόμενοι) ⟦~~κατατασσονται τωι σωματι~~⟧. ἀλ(λὰ) τοὐναντίον· τὸ μὲν καστόρειον, [ὥσπερ
εἶπον],
ῥώννυσιν τὰς δυ(νάμεις) διεγεῖρον τὴν ψυχ(ήν), οἱ δὲ ἀ[τμο]ὶ
οὐ διεγείροντες τὴν ψυχὴν ὠφελοῦσιν, ἀλ(λὰ) π(ροσ)κατα-
τασσόμενοι τοῖς σώμασιν. * * γελοῖος δ' (ἐστὶν) ἀνήρ·
οὐ γ(άρ), εἰ ἀμφότερα τὰ βοηθήματα διεγείρει τὰς δυ(νάμεις),
ταύτηι κωλυθήσεται τὸ ἕτερον π(ροσ)κατατάσσεσθαι
τῶι σώματι. καὶ γ(ὰρ) δὴ ὁ τιλμὸς διεγείρει τὰς δυ(νάμεις) καὶ
αἱ πληγαί, ἀλ(λὰ) οὐχ ὁμοίως· διὰ μ(ὲν) γ(ὰρ) τ(ῶν) πληγῶν

XXXVII 45 supplementa incerta 46 ἐπεί τε κτλ. non continuanda videntur prioribus, sed brevius solito haec dicta. nam agitur de aquarum vaporibus υδατιον (ο=α) deleto ν corr. P τὴν λειμὸν] de feminino cf. Usener ad S. Theodosium (Leipzig 1890) p. 144. in Aegypto hic usus iam altero a. Chr. saeculo vulgaris cf. *Notices et extr. des mss.* XVIII 2 p. 209. 274 47 διεξαρκεῖ supplevi ignotum lexicis, at notum Philoni I 607 M., de sept. Tischend. p. 64, 8 48 K αἴσθησις P: εἴσκρισις bene Kalbfleischius cf. XXXVII 7 sqq. 50 προστιθέμενον (cf. v. 51) cum correctum videatur deletis manifesto μεν, restat ut προστεθὲν voluerit corrector 57 δυνάμεσι] scil. corporis
XXXVIII 5 K

XXXVIII καὶ τιλμῶν διεγείρονται αἱ δυ(νάμεις) καὶ φυλάσσουσι τὰ ἐν τῶι σώματι καὶ οὐχὶ ἐῶσιν ἀφανίζεσθαι, ἀλλὰ πυκνώσεως γινομένης τηρητικαὶ γίνονται τοῦ τε πνεύματος καὶ τῆς θερμότη⟨το⟩ς· ὑπὸ δὲ τοῦ καστορείου καὶ τ(ῶν) ὁμοίων ῥωννύμεναι αἱ δυ(νάμεις) ὡς π(ρὸς) τὴν ὀσμὴν τὸ αὐτὸ ἐνεργοῦσι, * * ὑπὸ μέντοι γε τ(ῶν) ἀτμῶν ῥωννύμεναι αἱ δυ(νάμεις) καὶ προστρεφόμεναι προσανακύπτουσιν. * δῆλον τοιγ(άρ)τοι, ὡς ἀπὸ τ(ῶν) ἀτμῶν ῥώννυνται αἱ δυ(νάμεις) ἀφικνουμέν(ων) τ(ῶν) ἀ⟦ϑ⟧τμῶν διὰ τ(ῶν) λόγωι θεωρητ(ῶν) πόρων, ἐξ ὧν ὁμολογουμένως κατασκευάζ(ουσιν), ὡς καὶ εἰσκρίνεταί τινα εἰς ἡμᾶς διὰ τ(ῶν) λόγωι θεωρητ(ῶν) πόρων τῆς σαρκός. * * ἄλλως τε ζητεῖται, πῶς θερμαίνεται ἡμῶν τὰ σώματα· δῆλον γ(ὰρ) ὡς τῆς θερμασίας εἰσκρινομένης εἰς τὰ ἡμέτερα σώματα κ[αὶ] ἀλεαινομέν(ων) πρὸς αὐτῆς. εἰ δὲ εἰσκρίνεταί τις θερμασία εἰς ἡμᾶς, πῶς δῆτα εἰσκρίνεται; σῶμα γ(ὰρ) αὕτη, σῶμα δὲ διὰ σώματος οὐκ εἰσκρίνεται. οὐκοῦν διά τιν(ων) εὐρυχωριῶν; * εἰ τοῦτο, πόρους τοιγ(άρ)τοι χρῆν ἀπολιπεῖν λόγωι θε⟨ω⟩ρητούς, δι᾽ ὧν εἰσκριθήσεται ἡ θερμασία. * ἐχομένω(ς), [φ(ησίν)], καὶ ἐπὶ τοῦ χειμῶνος ψυχρότερα ἡμῶν (ἐστιν) τὰ σώματα [το] τῶι τὸν ἀέρα ψυχρὸν ὄντα καὶ εἰσιόντα εἰς ἡμᾶς κ(ατα)ψύχειν ἡμᾶς. * ταύτη γέ τοι ἐπὶ τούτ(ων) διαπορεῖται, τί δήποτε οἱ ἐκ τ(ῶν) βαλανείων ἐξερχόμενοι καὶ ὑπὸ τῶι ἀέρι γενό(μενοι) εὐθέως κ(ατα)ψύχονται, * οἱ μ(έν)⟨τοι⟩ γε μετὰ τὸ λουτρὸν περιχεάμενοι ψυχρῶι ἐν τῶι βαλανείωι, εἶτα ἐν τῆι αἰθρίᾳ γενόμενοι ἧττον καταψύχονται. τίνος γενηθέντος; δῆλον ὅτι τῆς μ(ὲν) καταχύσεως τοῦ ψυχροῦ πυκνούσης τὴν ἐπιφάνεια(ν) καὶ κωλυούσης ἀφανίζεσθαι τὸ ἐν ἡμῖν θερμ(όν), τόν τε ἀέρα ψυχρὸν ὄντα μὴ ἐώσης εἰσκρίνεσθαι. διὰ δὴ τοῦτο τὸ αἴ(τιον) μὴ ῥαδίως καταψύχεσθαι τοὺς ποταμούς. * ἐπὰν μ(έν)τοι γε τοῦτο μὴ γένη-

XXXVIII 27 K 35 ε prima ex κ ut videtur P 40 καταψυχονται, ο an ω ambigue, P

XXXVIII ται, ἀλλ' ἠραιωμένοι χωρήσωσι εἰς τὸν ἀέρα, θᾶττον δέχονται αὐτόν, καὶ ὃς εἰσιὼν εἰς τὰ σώματα ψυχρὸς ὢν κ(ατα)ψύχει αὐτά. εἰ δὲ τοῦτο, φανερόν, ὡς [εἰσ]κρίνεταί τι ἀπὸ τοῦ ἀέρος εἰς ἡμᾶς. * * διδάσκουσι δὲ καὶ μετὰ ταῦτα, ὡς εἰσίν τινες λόγωι θεωρητοὶ πόροι ἐν τοῖς ἡμετέροις σώμασιν, ὅπερ δή (ἐστιν) γελοῖον. πρῶτον μ(ὲν) γ(ὰρ) ἐχρῆν τοῦτο κ(ατα)σκευάσαι καὶ τοῦτο προκ(ατα)στησαμένους λοιπὸν διδάσκειν, ὅτι καὶ ἀποκρίνεταί τινα ἀπ' αὐτῶν διάφορα, ὡς ὁμοίως δὲ καὶ εἰσκρίνεται, ⟦~~ουτε~~⟧ ὃ [οὐ δοκ]εῖ [γί(νεσθαι)]. τοῦτο ᾱ. ἀλ(λὰ) δεύτερον δι' ἣν αἰ(τίαν) [. . . . .] ἀλλ' αυτη [.] α̣τ̣ι̣τα [. . . . .]

XXXIX θαι Ἀλέξανδρος, π(ροσ)χρῶνται. [καὶ ᾱ, φ(ησίν),] ἀποκρίνεταί τινα ἀφ' ἡμῶν καὶ εἰσκρίνεταί τινα εἰς ἡμᾶς πάντως διά τιν(ων) λόγωι θεωρητ(ῶν) πόρων, ἐπειδήπερ σῶμα διὰ σώματος ο[ὐ λέγ]ουσι διελθεῖν. καὶ ἄλλως φ(ησίν)· ὡς ἡ φύσις τηρεῖ τὸν [νόμ]ον, ἐπ̣ο̣ί̣[ησεν] [πά]ντ(ων) ἀποφοράς τινας αἰσθητὰς καὶ λόγωι θε[ωρητάς] [κ]αὶ διαφόρους ἀποφορὰς κ(ατὰ) τὸ αἰσθητὸν καὶ κ(ατὰ) [τὸ] [λ]όγωι θεωρητόν. * ἐπεὶ οὖν κατὰ τὸ αἰσθητὸν [ἐ]ποίησέν τινας πόρους, καὶ κ(ατὰ) τὸ λόγωι θεωρητὸν [ἐπ]οιήσατο, * ὅτι τρέφεται, (φησίν), πάντα [δι]ὰ [πόρ]ων [το]ῦ σώμ[ατ]ος καὶ [οὐ] λέγουσιν σ[ῶμα διὰ] σώ(ματος) [διελθεῖν], καὶ τὸ χυλ[ω]τὸν καὶ τἆλλα [τοῦ σ]ώμ(ατος) [μέρη γί(νεται)] τῆς τροφῆς διοδευούσ[η]ς [.]αι[. .] [. . . . .]ος μέρος τοῦ σώματος, [ὡς] τ(ῶν) [λό]γωι θεωρητ(ῶν) πόρων ὄντων ταύτη [. . .]

XXXVIII 52] Sextus Empir. adv. math. VIII 220 Ἀσκληπιάδῃ δὲ ὡς ἐνστάσεως νοητῶν ὄγκων ἐν νοητοῖς ἀραιώμασιν (rubor cet. signa videntur).

XXXVIII 51 διδάσκουσι] Asclepiadei 59 papyro infra abscissa dubium num quid praeter extrema vv. 58. 59 perierit

XXXIX 1 θαι] sensus videtur [τῇ αἰτίᾳ ᾗ καὶ Ἀσκληπιάδη φησὶν χρῆσ]θαι cf. V 5). nam Asclepiadem hinc disputare liquet collato v. 5 cum XXXVI 48 10 οιησατο sic P. ποιησάτω K (initio utrum una an duae litterae fuerint, ambigitur), recte fortasse ἐποίησ(ε τ)ατό H. Schoene 13. 14] cf. v. 28

XXXIX [. .] ὁ Ἐρασίστ[ρα]τος θαυμάζ[ει] ἐπ[. . .]ι[. . .]τ(ων) [. .]ληται τὰ τηλικαῦτα λ[. .]σφε[.]αι[. . . .] [κ(ατα)κ]αέντα ὑφ' ὑάλου καὶ ει[. . . . . . .] [. .]ε κ(ατὰ) τοῦτον ἁπλοῦν αὐ[. . . . . . .]ειεν [. .]ον [. . . . .] τήγανον καὶ [. . . . .]ον διαφοραὶ [. .]ς φυσ[. . .]ς μ(ὲν) ἐχειταιδημε[. . .]ς α[ὐ]τοῖς λόγ[ω]ι θεωρητοὺς πόρους [. . . . .]εν καὶ ἡ[μ]ῖν. ὡς γὰρ [κ]αὶ μύρμηξ τρέφεται, οὕτως κ[αὶ] ἐλέφα[ς] καὶ αἱ Βακτριαναὶ κ[άμ]ηλ[οι ἂ]ν τ[ρ]αφεῖεν τ[ῶ]ι τὴν φύσιν καὶ ἐπὶ τούτ[ων πάν]των πόρους τινὰς καὶ κ(ατὰ) τὸ αἰσθητὸν καὶ κατὰ τὸ λόγωι θεωρητὸν μεμηχαν[ῆσθ]αι, ἵνα καὶ τὰ ἐλάχιστα τῶν [μερῶν] ⟦~~σωματων~~⟧ τρέφη[ται] τῆς τροφῆς διικνουμέν[ης] ἐπ' αὐτά. [φανερὸ]ν τοιγ(άρ)τοι ἐκ τούτ(ων) καὶ τ(ῶν) τούτοις παραπλησίων, ὡς λόγωι θεωρητοὶ πόροι (εἰσὶν) ἐν ἡμῖν καὶ παντὶ ζῴωι.

XXXIX 18 ὕαλος videtur esse speculum causticum ut Aristoph. Nub. 768. et Theophrast. de igne 73 [cf. *Sitzungsber. d. Berl. Ak.* 1884 p. 351 sqq.], unde etiam conexum sententiarum dispicias cf. τήγανον v. 20   καὶ εἴ[λης H. Schoeneus   21 sqq. sensus: *natura animalibus aequales ac nobis poros dedit* (ἐποίησεν)   24 κάμηλοι] cf. Arist. hist. anim. B 1. 498^{b} 8   29 διικνουμεν' [i. e. — μένων] clare sed vitiose P   32 pagina et disputatione semiperfecta desinit P

ANONYMI LONDINENSIS

FRAGMENTA

Fr. I (posticum) οἱ γ(ὰρ) προθυμίᾳ γι(νόμενοι) πρὸς τὸ διαχωρῆσαι, καταλαμβανόμενοι δὲ ἐν ἀγορᾶι ἢ ἐν ἀνεπιτηδείοις, εἶτα συσχόντες ἐπὶ πλεῖον, οὐκέτι διαχωρο(ῦσιν) ἢ διαχωροῦσιν ἐλάχιστά τε καὶ ξηρ(ά). τίνος αἰ(τίας) γι(νομένης); δῆλον ὅτι ἀποφορᾶς καὶ ἐν(τὸς) ἀπ' αὐτ(ῶν) γεγενημέν(ης). ἐξ ὧν φανερόν, ὡς τροφή (ἐστιν) καὶ ἡ ἐν ἐντέροις παρακειμένη. * * ἐὰν δεχῆ τούτ(ων) ο(ὕτως) ἐχό(ντων)


Fr. II (posticum) τῆς γ(ὰρ) τροφῆς ἡμ(ῶν) (ἐστιν) λεία[νσις . . . .] δε τραχεῖα καὶ κ(ατα)[[. . . . κε]]χυλωμένη μ(ὲν) φ[. . . . .] μὴ καὶ τὸ ἴτριον καὶ τὰ αι[.]εια [[. .]ειν συ[.]καιερ̄] [. . . . .] ἡ στερέμνιος, ὥς φ(ησιν) αὐτός, καὶ τὰ παραπλήσια [κατ]α[σκευάζεται ἐν ἡμ(ῖν)] τοῦτο ἐπί τιν(ων) ζώιων [. . . . .]τερον βορὰν ἐνίων [. . . . .] κατεργασίαν, τὸν δὲ λό(γον) τοῦτον ον [. . .] ματα αὐτῶν. ἡ γ(ὰρ) τροφὴ [. .] ἔσω βαλεῖν [. . .]εχθαι

Fr. I 8] Caelius Aurelianus acut. morb. [I 14 p. 44 Amman]: *praeterea excrementa ventris* (*Graeci* σκύβαλα *dicunt*) *negat* [Asclepiades] *aliena esse natura, si quidem etiam ex ipsis corpora augeantur.*


Fr. I extat in tabulae septimae (col. 21—24) parte postica (post c. 23) eadem manu qua antica exaratum 1 προθυμίᾳ sic P: num πρόθυμοι vel ⟨ἐν⟩ προθυμίᾳ? 4 διαχωρο̄ P 9 εαν ex τα correxisse videtur P. proximae litterae propter correcturam difficiles sunt lectu

Fr. II item in postica post col. 23—22 2 super initimum vocum καικ(ατα)χυλωμενη (sic) septem litteras obscuras posuit P 3 post τα legi potest etiam ει. in suprascriptis extremis καιερ̄ vel καταρ̄


Fr. III




Fr. IV




Fr. V




Fr. VI




Fr. VII




Fr. VIII




Fr. IX




Fr. X



Fr. XI



Fr. XII



Praeceptum in postica scriptum:

σκαμωνε[ίας]
ταρίκου (sic)
βδελλύου (sic)
κόμμεως

Fr. III extrema et prima quaeque duarum paginarum.
Fr. IV—VII servantur in tab. IX
Fr. X 4 [αἰτ]ιολογεῖ
Fr. XII servatur in tab. V
Praeter haec quaedam servantur in tabulis X et XI partim vacua partim litteris conscripta fragmenta minima, quae legere non potui
Praeceptum in postica iuxta fr. II ab aliena manu scriptum 2 volebat ταρίχου 3 volebat βδελλίου

[ΑΡΙΣΤΟΤΕΛΟΥΣ] ΙΑΤΡΙΚΩΝ ΜΕΝΩΝΕΙΩΝ

FRAGMENTA RELIQUA

I. [Fragm. V. Rose 335 Berol., 373 Lips.]

Galenus in comm. ad I Hipp. de nat. hom. (XV 25 sq. K.): καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν Φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει. καί σοι πάρεστιν, εἰ χαίροις τῇ περὶ τούτων ἱστορίᾳ, τὰς τοῦ Θεοφράστου βίβλους ἀναγνῶναι, καθ' ἃς τὴν ἐπιτομὴν ἐποιήσατο τῶν Φυσικῶν δοξῶν, ὥσπερ γε πάλιν εἰ τὰς τῶν παλαιῶν ἰατρῶν δόξας ἐθέλοις ἱστορῆσαι, πάρεστί σοι τὰς τῆς ἰατρικῆς συναγωγῆς ἀναγνῶναι βίβλους, ἐπιγεγραμμένας μὲν Ἀριστοτέλει, ὁμολογουμένας δὲ ὑπὸ τοῦ Μένωνος, ὃς ἦν μαθητὴς αὐτοῦ, γεγράφθαι, διὸ καὶ Μενώνεια προσαγορεύουσιν ἔνιοι ταυτὶ τὰ βιβλία. δῆλον δὲ ὅτι καὶ ὁ Μένων ἐκεῖνος, ἀναζητήσας ἐπιμελῶς τὰ διασῳζόμενα κατ' αὐτὸν ἔτι τῶν παλαιῶν ἰατρῶν βιβλία, τὰς δόξας αὐτῶν ἐκεῖθεν ἀνελέξατο. τῶν δ' ἤδη διαφθαρμένων παντάπασιν, ἢ σῳζομένων μέν, οὐ θεωρηθέντων (?) δ' αὐτῷ, τὰς γνώμας οὐκ ἠδύνατο γράψαι. κατὰ ταῦτ' οὖν τὰ βιβλία χολὴν ξανθὴν ἢ μέλαιναν ἢ φλέγμα στοιχεῖον ἀνθρώπου φύσεως οὐκ ἂν εὕροις οὐδ' ὑφ' ἑνὸς εἰρημένον, αἷμα δὲ καὶ τῶν μεθ' Ἱπποκράτην φαίνονται πολλοὶ μόνον εἶναι νομίζοντες ἐν ἡμῖν, ὥστε καὶ τὴν πρώτην γένεσιν ἡμῶν ἐξ αὐτοῦ γίγνεσθαι, καὶ τὴν μετὰ ταῦτα κατὰ τὴν μήτραν αὔξησιν καὶ ἀποκυηθέντων τελείωσιν.

II. [R. 336 B. 374 L.]

Laertius Diogenes V 61: γεγόνασι δὲ Στράτωνες ὀκτώ· πρῶτος Ἰσοκράτους ἀκροατής· δεύτερος αὐτὸς οὗτος [philosophus]· τρίτος ἰατρός, μαθητὴς Ἐρασιστράτου, ὡς δέ τινες, τρόφιμος, . . . ἕβδομος ἰατρὸς ἀρχαῖος ὡς Ἀριστοτέλης φησίν.

III. [R. 337 B. 375 L.]

Plutarchus Quaest. conviv. VIII 9, 3: καὶ μὴν ἔν γε τοῖς Μενωνείοις σημεῖον ἡπατικοῦ πάθους ἀναγέγραπται τὸ τοὺς κατοικιδίους μῦς ἐπιμελῶς παραφυλάττειν καὶ διώκειν.

Fr. I 7 Ἀριστοτέλους Cobetus 12 an οὐχ εὑρηθέντων?
Fr. II cf. M. Wellmann *Jahrb. f. cl. Philol.* 1892 (CXLV) 675
Fr. III μελωνείοις codex: corr. I. A. Fabricius

IV. [R. 339 B. 377 L.]

Caelius Aurelianus acut. morb. II 13 [ed. Amman Amstel. 1722 p. 110]: *hanc* [pleuritidem] *definiens primo De adiutoriis libro Aristoteles sic tradendam credidit. 'pleuritis, inquit, est liquidae materiae coactio sive densatio.' nec tamen disseruit, utrumne totius (quod falsissimum, si quidem phlebotomati aegrotantes liquidum sanguinem reddunt), an vero particulae. sed cum hoc tacuit, necessarium praetermisit.*

V. [R. 341 B. 379 L.]

Escolapius q. d. de morbis p. VIII (post Physicam Hildegardis etc. ed. Io. Schottus Arg. 1533): *iracundia irritantur* [melancholici] *cum mentis perversitate insaniunt, ut maniaci: in vociferatione solum differunt Aristotele philosopho testante.*

VI. [R. 340 B. 378 L.]

Caelius Aur. chronic. morb. I 5 [ed. Amman p. 336]: *alii frigidis usi sunt rebus* [contra manian], *passionis causam ex fervore venire suspicantes, ut Aristoteles et Diocles.*

VII. [R. 338 B. 376 L.]

Plinius H. N. XXVIII 74: *peculiariter valet* [lac] *potum contra venena quae data sint e marino lepore, bupresti et aliis, ut Aristoteles tradit dorycnium; et contra insaniam quae facta sit hyoscyami potu.*

Fr. IV post *definiens* fortasse intercidit *ut ait in.* nam Sorani liber Περὶ βοηθημάτων citatur ut acut. morb. II 29 p. 143 *coactio* Almeloveenus: *coctio* vulgo *necessarium praetermisit* em. ed. Lugd. 1567: *non promisit* vulgo

Fr. V "cf. Cael. Aur. chron. I 6 p. 340. ceterum idem potuit repeti ex (Aristotelis) Probl. 30, 1 (953b14. 954a31), sicut maniae causa (fr. 340) tangitur ibidem 954a32." Rose

Fr. VI cf. Anecd. med. Paris. Suppl. 636 f. 47r [cf. supra test. IV 14 et *Sitzungsber. d. B. Ak.* 1893 p. 102[2]] inter Praxagorae et Hippocratis placita de mania: Ὁ δὲ Διοκλῆς ζέσιν τοῦ ἐν τῇ καρδίᾳ αἵματός φησιν εἶναι χωρὶς ἐμφράξεως γινομένην· διὰ τοῦτο γὰρ μηδὲ πυρετοὺς ἕπεσθαι· ὅτι δὲ ἐπὶ ζέσιν [ζέσει?] γίνεται τοῦ αἵματος δηλοῖ ἡ συνήθεια· τοὺς γὰρ μανιώδεις ⟨τε⟩θερμάνθαι φαμέν

Fr. VII *bupresti* SR[2]: *praestim* V[1]: *prestim* R[1] *et aliis* temptavi: *utatim* libri *dorhicnum* V: *dorycnum* R: em. L. Ianus. cum toto fr. cf. Galen. de antidotis II 7 [XIV 139 sqq.]

INDICES

I INDEX VERBORUM

II INDEX NOMINUM

Verba sive nomina asterisco notata desiderantur in lexicis.


S I G L A

= αἴτιος, αἰτία cet.
= ἀλλά (ἄλλης (IX 40)
= γάρ
= γίνεται, γίνονται, γινόμενος, γένηται cet.
= γίνεσθαι
= δύναμις cet.
= ἐστίν
= εἶναι
= εἰσίν
= κατά, κατ', καθ'
= λόγος, λόγῳ cet.
= μεν, μέν

= μεθα
= νον
= νης
= νων
= οὕτως
= παρά
= πρός
= πρότερον
vel = των
= ὑπάρχων, ὑπάρχει cet.
= φησίν, φασίν, φαμέν
= ψυχήν (XXXVIII 5)

Sectarum nomina

= Ἐμπειρικοί XXXI 26
= Ἐριστράτειοι XXXVI 18
= νεώτεροι II 30



PAPYRI LONDINENSIS CXXXVII PAGINAE IV ET V

